συναποστέλλειν. Παλ. Διαθ. Ἐξόδ. ΛΓ΄, 12 «σὺ δὲ οὐκ ἐδή- άς μοι ὃν συναποστελεῖς μετ' ἐμοῦ».

συμπέμπειν. Θουκυδ. Β΄, 67, 3 «ἄλλους ξυμπέμψας μετὰ τοῦ ρχου καὶ Ἀμεινιάδου». Λυσ. κατ' Ἀγορ. 80 «συνηκολούθει γὰρ ῶν τὰ ὅπλα καὶ συνέπεμπε τὴν πομπὴν μετὰ τῶν πολιτῶν πρὸς ἄστυ». Ἐπιστολ. Β΄ πρὸς Κορινθ. Η΄, 18 «συνεπέμψαμεν δὲ ' αὐτοῦ τὸν ἀδελφόν».

συνεκπέμπειν. Σχολ. Ἀριστείδ. σελ. 464, 7 Δινδ. «συὸς δέ ος λυμαινομένου Μυσοὺς συνεξέπεμψεν αὐτὸν μετὰ τοῦ οἰκείου παι- ς». Πρβ. Ἰακώψιον εἰς Ἀχιλλ. Τάτ. σελ. 693.

συμπαραπέμπειν. Αἰσχίν. περὶ Παραπρεσβ. 168 «συμπαραπέμπων μετὰ τῶν ἡλικιωτῶν καὶ τῶν Ἀλκιβιάδου ξένων τὴν εἰς λειοῦντα παραπομπήν».

συμπράσσειν-ττειν. Θουκυδ. Η΄, 73, 3 «καὶ ἄλλα μετ' αὐτῶν τοιαῦτα ξυνέπραξαν». Συλλ. Ἐπιγρ. Ἑλλην. Διττεμβ. 190, 17 (σελ. 291) «ἀποδειχθεὶς πρεσβευτὴς ὑπὸ τοῦ δήμου συνεπρέσβευεν καὶ συνέπραττε φιλοτίμως μετὰ τούτων».

συνδιοικεῖν. Συλλ. Ἐπιγρ. Ἑλλην. Διττεμβ. 134, 5 (σελ. 216) «συνδιῴκησεν μετὰ τῆς πρεσβείας ὅπως ἂν ἡ ἀτέλεια ὑπάρχῃ τῇ θεῷ».

συνδιαπονεῖν. Πλάτ. Σοφιστ. σελ. 218, Β΄ «ᾧ συνδιαπονεῖν μετ' ἐμοῦ τὰ πολλὰ οὐκ ἄηθες».

συνεπισκοπεῖν. Πλατ. Κρατύλ. σελ. 422, Γ΄ «δεῦρο αὖ συνεπίσκεψαι μετ' ἐμοῦ». Πρβ. καὶ Σοφιστ. σελ. 218 Β΄, «κοινῇ δὲ μετ' ἐμοῦ σοι συσκεπτέον».

συνομιλεῖν. Κέβ. (Ψευδοκέβ.) Πίν. ΙΓ΄, 1 «οἱ τῆς Ψευδοπαιδείας, ἔφη, ἐρασταὶ ἠπατημένοι καὶ οἰόμενοι μετὰ τῆς ἀληθινῆς Παιδείας συνομιλεῖν».

συναίρειν. Παλ. Διαθ. Ἐξόδ. ΚΓ΄, 5 «ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ, οὐ παρελεύσῃ αὐτό, ἀλλὰ συναρεῖς αὐτὸ μετ' αὐτοῦ». Ὁ Ἄνζιος γράφει ἐν *Dissert. Philol. Hal.* 1894, σελ. 367 «ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ, οὐ παρελεύσῃ αὐτὸ ἀλλὰ συνεγερεῖς αὐτὸ μετ' αὐτοῦ B^{ab} F Lag. [A ἐγερεις, B συναρεις]. at conf. Ps.-Phocyll. 140 κτῆνος κἢν ἐχθροῖο πέσῃ καθ' ὁδὸν συνέγειρε, quem versum illum Exodi locum spectare satis apparet.—

Illa sublevandi et erigendi notio verbi ἐγείρειν inde a deflorescentis Attici sermonis aetate evaluit».

συναναφέρειν. Παλ. Διαθ. Γεν. Ν', 25 «καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ' ὑμῶν».

συγκαθίζειν. Ἡσύχ. «Συνέρξαι: συγκαθίσαι μετά τινος ἢ συγκαθεῖρξαί τινι».

συνέψειν. Ἀθήν. σελ. 85, Α' «ἐὰν δέ τις ἐν μέλιτι Ἀττικῷ ὅλον κιτρίον ὡς ἔχει φύσεως συνεψήσῃ μετὰ τοῦ σπέρματος, διαλύεται μὲν ἐν τῷ μέλιτι κτέ».

συνδιατηρεῖν. Συλλ. Ἐπιγρ. Ἑλλην. Διττεμβ. 171, 99 (σελ. 272) «παραδέξασθαι φυλακὴν τὴν συνδιατηρήσουσαν μετ' αὐτῶν τὸ χωρίον τῷ βασιλεῖ Σελεύκῳ».

συσσῴζειν. Ἰσαῖ. Ἀποσπ. 15 (σελ. 157 Σχειβ.) «πειράσομαι συσσῴζειν αὐτὸν μεθ' ὑμῶν».

συνταλαιπωρεῖν. Ἀριστοφ. Λυσ. 1221 «χἠμεῖς μετὰ σοῦ ξυνταλαιπωρήσομεν».

συνδιαφθείρειν. Πλούτ. Κίμ. Ζ' «πῦρ ἐνεῖναι καὶ συνδιαφθεῖραι μετὰ τῶν φίλων καὶ τῶν χρημάτων ἑαυτόν».

συναπολλύναι. Ἀντιφ. περὶ τοῦ Ἡρῴδ. Φόνου 82 «συναπώλεσαν μετὰ τῆς αὐτῶν ψυχῆς τοὺς ὁσίως διακειμένους τὰ πρὸς τοὺς θεούς».

συναποκτείνειν. Αἰσχίν. περὶ Παραπρεσβ. 148 «ὃν ὕστερον μετὰ Ἀριστάρχου συναπέκτεινας».

συνεξαιρεῖν. Ἐπιγρ. Ἀττικ. Τόμ. Β', α', σελ. 406 (66, γ', 21) «καὶ Κρηνίδας συνεξαιρήσω μετὰ Κετριπόριος καὶ τῶν ἀδελφῶν».

συγκαθαιρεῖν. Θουκυδ. Α', 90, 2 «ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον ὅσοις εἱστήκει ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους».

συναναιρεῖν. Τζέτζ. Σχολ. εἰς Λυκόφρ. σελ. 899, 987 «μεθ' ὧν συνανεῖλον καὶ τῆς ἱερείας τῆς Ἀθηνᾶς παῖδα».

συμπαίζειν. Ἀριστοφ. Εἰρ. 816 «Μοῦσα θεά, μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν».

συνιατρεύειν. μετά τινος. Συλλ. Ἐπιγρ. Ἑλλην. Διττεμβ. 461, 13 (σελ. 647) «εἰ δὲ χρείαν ἔχοι Διονύσιος, συνιατρευέτω Δάμων μετ' αὐτοῦ ἔτη πέντε λαμβάνων τὰν τροφάν»,

συνθητεύειν. Εὐστάθ. σελ. 1338, 62 «ὅτι δηλαδὴ μετὰ Ποσειδῶνος συνθητεύσας τῷ Λαομέδοντι καὶ μισεῖν ὀφείλων τοὺς ἐξ ἐκείνου».

συναδικεῖν. Ἐκλογ. Ἐπιγρ. Ἑλλην. Καυ. 494, 11 (σελ. 323 β') «ἐλεγχθέντος δὲ καὶ Θύσσου τοῦ Σύσκω καὶ κριθέντος συναδικεῖν μετὰ Μανίτα, ἔδοξε Μυλασεῦσιν κτέ».

συνεδρεύειν. Πολύβ. σελ. 1013. 11 «κἀκεῖ παραγενόμενος συνήδρευε μετὰ τούτων» καὶ σελ. 1185, 5. Διογ. Λαέρτ. Η', 39 «συνεδρεύοντος μετὰ τῶν συνήθων ἐν τῇ Μίλωνος οἰκίᾳ».

συμβακχεύειν. Πλάτ. Φαιδρ. σελ. 234, Δ «καὶ ἑπόμενος συνεβάκχευσα μετὰ σοῦ, τῆς θείας κεφαλῆς».

συσπλαγχνεύειν. Ἀριστοφ. Εἰρ. 1115 «Ἄγε δή, θεαταί, δεῦρο συσπλαγχνεύετε μετὰ νῷν».

συνδιαφέρειν. Ἀριστοφ. Ἱππ. 596 «πολλὰ γὰρ δὴ πράγματα ξυνδιήνεγκαν μεθ' ἡμῶν».

συγκατηγορεῖν. Δημοσθ. σελ. 434, 291 «συγκατηγόρει μετ' ἐκείνου σοῦ καὶ τῶν ἐχθρῶν τῶν σῶν εἰς ἐξητάζετο».

συνεισβάλλειν. Ξενοφ. Ἑλλ. ς', ε', 22 «ὅτι συνεισεβεβλήκεσαν εἰς τὴν Ἀρκαδίαν μετὰ τῶν Λακεδαιμονίων». Πολύβ. σελ. 353, 22 «ἐὰν συνεισβάλῃ μετ' αὐτῶν εἰς τὴν Ἀχαΐαν». Ἰώσ. Ἰουδ. Ἀρχαιολ. ς', β', 8.

συνεμβάλλειν. Δημοσθ. σελ. 304, 230 «ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ Φιλίππου συνεμβαλεῖν εἰς τὴν χώραν, κτέ».

συνομνύναι. Αἰσχίν. κατὰ Κτησιφ. 112 «ἀναμνήσθητε τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων συνώμοσαν».

συνατυχεῖν. Λυκοῦργ. 131 «ἢ κοινῇ μετὰ τῶν ἄλλων πολιτῶν συνατυχοῦντες».

συναποσπᾶν. Ἰουλιαν. σελ. 496, 5 Ἑρτλ. «ἐγὼ δὲ περὶ τοῦ μικροῦ σφόδρα ἠγωνίων, μή τις αὐτὸ μετὰ τοῦ μεγάλου συναποσπάσῃ».

συνανιστάναι. Ξενοφ. Συμποσ. Θ', 5 «ὡς δὲ ὁ Διόνυσος ἀνιστάμενος συνανέστησε μεθ' ἑαυτοῦ τὴν Ἀριάδνην, κέ».

συνᾴδειν. Αἰσχίν. περὶ Παραπρεσβ. 163 «συνῇδον μετὰ τῶν ἄλλων πρέσβεων».

συνδοκεῖν. Πλάτ. Πολιτικ. 277, Α' «ἀλλὰ κἀμοὶ μετὰ σοῦ κοινῇ ξυνδοκεῖν».

συνεκτρέφειν. Πλάτ. Συμποσ. σελ. 209, Γ' «τὸ γεννηθὲν συνεκτρέφει κοινῇ μετ' ἐκείνου».

συγκαταναυμαχεῖν μετά τινος. Αἰσχίν. περὶ Παραπρεσβ. 75 «Κλεόβουλος ὁ Γλαύκου τοῦ Ἀχαρνέως υἱὸς μετὰ Δημαινέτου τοῦ Βουζύγου συγκατεναυμάχησε Χίλωνα τὸν Λακεδαιμονίων ναύαρχον».

συνεισπίπτειν Ἀριστοφ. Ἐκκλησ. 1095 «ξυνεσπεσοῦμαι γὰρ μετὰ σοῦ».

συμπλέκειν. Σιμπλίκ. Ὑπομνήμ. εἰς Ἀριστ. Τόμ. Θ', σελ. 91, 12 «καὶ ταῦτα μετὰ τῆς οὐσίας συμπλέκον».

συμπαριστάναι. Ἀπολλών. περὶ Συντάξ. σελ. 249, 11 «μετὰ τῆς ἐκ τοῦ τόπου σημασίας συμπαρίστησι καὶ τὸ ἴδιον τοῦ τόπου».

συνδιαστέλλειν. Ἀπολλών. περὶ Συντάξ. σελ. 103, 26 «ἵνα μετὰ τῆς ποιότητος τοῦ χαρακτῆρος συνδιαστείλῃ τὸ γένος».

συνδυάζειν. Ψαλμ. ΡΜ', 4 «καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν».

συμπαρεῖναι. Ἀθήν. σελ. 218, Γ' «ὁ δὲ Πλάτων καὶ τὸν Ἠλεῖον Ἱππίαν συμπαρόντα ποιεῖ ἐν τῷ Πρωταγόρᾳ μετὰ τινων ἰδίων πολιτῶν».

συννικᾶν — συνηττᾶσθαι. «Ξενοφ. Κύρ. Παιδ. Ϛ', δ', 14 «συντέτραφθε δὲ καὶ συντέταχθε ἐν τῷ αὐτῷ πολὺ πλείω ἤδη χρόνον ἢ οἱ πολέμιοι καὶ συννενικήκατε μετ' ἀλλήλων· τῶν δὲ πολεμίων οἱ πολλοὶ συνήττηνται μεθ' αὐτῶν».

σὺν κακῶς ποιεῖν. Θουκυδ. Γ', 3, 1 «μὴ ξὺν κακῶς ποιεῖν αὐτοὺς μετ' Ἀθηναίων, ἀλλὰ ξυνελευθεροῦν».

συνίστασθαι. Θουκυδ. Ζ', 33, 2 «οἱ δ' ἄλλοι ἐπὶ τοὺς Ἀθηναίους μετὰ τῶν Συρακοσίων οἱ πρότερον περιορώμενοι ξυστάντες ἐβοήθουν». Δημοσθ. σελ. 917, 34 «τηνικαῦτα μεταβαλλόμενος συνίσταται μετὰ τοῦ Λάμπιδος καὶ φησιν ἐκείνῳ τὸ χρυσίον ἀποδεδωκέναι». Αἰσχ. κατὰ Κτησιφ. 60 «οὐδὲν πώποτ' εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους». Βιογράφ. Οὐεστερμ. σελ. 296, 101 «τότε μετ' ἀλλήλων συστάντες καὶ συμμαχίαν ποιησάμενοι πρὸς αὐτοὺς ἐπολέμουν». Διον. Ἁλικαρν. Ῥωμ. Ἀρχαιολ. σελ. 1515 «δήμῳ τύραννος οὐδεὶς πολεμεῖ μετὰ τῶν ἀρίστων συστάς». Νικολ. Δαμασκ. Ἱστορ. Μικρ. Τόμ. Α', σελ. 124, 6 Δινδ. «ἀλλὰ τῷ συνίστασθαι μετὰ τούτων θεραπεύοντες τὴν ἔπειτα ἐλπίδα». Ὁ Κόβη-

γράφει ἐν Παρατηρ. εἰς Διον. Ἀλικ. σελ. 207 «Οὐαλέριος καὶ οἱ μετ' ἐκείνΟΥ Ἑστῶτες. Non est Graeca locutio ἑστάναι ... τινος. Quid sit emendandum liquido demostrat locus in ...nia p. 2217. οἱ μετὰ τοῦ Οὐαλερίου ΣΥΝεστῶτες». Ἀλλ' ἴδε ...πον εἰς Θουκυδ. Μέρ. Γ', δ', σελ. 522 ἐκδ. μεγ.

συμπραγματεύεσθαι. Ὁ Ἐρουερδὴν γράφει ἐν *Lex. Graec. ...ppet. et Dialect.* σελ. 778 «συμπραγματεύεσθαι μετά τινος ...ί τινος CIA IV 2 385 C 16 (post. bellum sociale 220-217 C) = Dittenb [2] 241. Cum dat. pers. Deli tit. Dittenb. [2] ...5, 10».

συναντιβάλλειν. Ὁ Ἐρουερδὴν λέγει ἐν τῷ μνημονευθέντι βι...ίῳ σελ. 780 «συναντιβάλλειν μετά τινος, convenire ali...uem, consulere de aliqua re. Pari inscr. a. 204 p. C. Dit...enb. [2] 415, 5 ἐὰν μετ' ἐμπείρων συναντιβάλῃς».

συμβουλεύεσθαι. Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. Ζ', δ', 2 (Τόμ. ...', σελ. 106, 15 Νισ) «ἔδοξε Δαυΐδῃ συμβουλευσαμένῳ μετὰ τῶν ...ερόντων καὶ ἡγεμόνων καὶ χιλιάρχων μεταπέμψασθαι τῶν ὁμοφύ...ων ἐξ ἁπάσης τῆς χώρας πρὸς αὐτὸν τοὺς ἐν ἀκμῇ τῆς ἡλικίας». ...ρβ. καὶ Ἀριστοφ. Νεφ. 475.

συνεπιμελεῖσθαι. Δημοσθ. σελ. 1168. 5 «ὅπως ἂν παρῇ καὶ συνεπιμελῆται μεθ' ἡμῶν ἁπάντων ὧν προσῆκεν».

συνεξετάζεσθαι. Δημοσθ. σελ. 556, 127 «καὶ τοὺς βοηθοῦντας καὶ τοὺς συνεξεταζομένους μετὰ τούτου μὴ συνηγόρους μόνον ἀλλὰ καὶ δοκιμαστὰς τῶν τούτῳ πεπραγμένων ὑπολαμβάνειν εἶναι».

συμπαρακαθέζεσθαι. Πλάτ. Λύσιδ. σελ. 207, Β' «ἰδὼν οὖν αὐτὸν ὁ Λῦσις ἕσπετο καὶ συμπαρεκαθέζετο μετὰ τοῦ Μενεξένου».

συνεπιτίθεσθαι. Θουκυδ. Α', 23, 3 «ταῦτα γὰρ πάντα μετὰ τοῦδε τοῦ πολέμου ἅμα ξυνεπέθετο». Πλούτ. Λυκ. ΚΗ' «μετὰ τὸν μέγαν σεισμόν, ᾧ συνεπιθέσθαι τοὺς εἵλωτας μετὰ Μεσσηνίων ἱστοροῦσι». Διον. Ἀλκαρν. Ῥωμ. Ἀρχαιολ. σελ. 494 «ἀπορρήτους ποιησάμενοι συνθήκας πρὸς τοὺς κοινοὺς πολεμίους, ὡς ἐν τῷ ἀγῶνι συνεπιθησόμενοι ἡμῖν μετ' αὐτῶν».

συναρχοστατεῖσθαι. Ἐκλογ. Ἐπιγρ. Ἑλλην. Καυ. 223, 14 (σελ. 157 ἐκδ. β') «συνεκ(κ)λησιάζειν καὶ συναρχοστατεῖσθαι μετὰ τᾶς (πό)λιος τῶν Στιρίων».

συμπαιδεύεσθαι. Ἰσαῖ. περὶ τοῦ Ἀστυφ. Κλήρ. 28 «καὶ ἐπειδὴ ἐγὼ ἐγενόμην καὶ ὥραν εἶχον παιδεύεσθαι, μετ' ἐκείνου συνεπαιδευόμην».

συμφύρεσθαι. Πλάτ. Φαίδ. σελ. 66 Β' «ἕως ἂν τὸ σῶμα ἔχωμεν καὶ συμπεφυρμένη ᾖ ἡμῶν ἡ ψυχὴ μετὰ τοιούτου κακοῦ». Θεόδ. Μετοχ. σελ. 580 (1821) «πολλάκις ἔμοιγ' ἔδοξεν ἡ μετὰ τοῦ σώματος συμπεφυρμένη ζωὴ καὶ κατὰ τὸ τῆς ψυχῆς ἄλογον κτλ.» καὶ σελ. 583.

συναναφύρεσθαι. Ἀθήν. σελ. 567, Α' «σὺ δέ, ὦ σοφιστά, ἐν τοῖς καπηλείοις συναναφύρῃ οὐ μεθ' ἑταίρων ἀλλὰ μεθ' ἑταιρῶν».

συγκαταδιώκεσθαι. Θουκ. Η', 28, 1 «τὰς Χίας ναῦς προσλαβόντες τὰς μετὰ Χαλκιδέως τὸ πρῶτον ξυγκαταδιωχθείσας».

συγκαταψηφίζεσθαι. Πράξ. Ἀποστολ. Β', 27 «καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων». Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου μνημονεύεται χωρίον καὶ ἐκ Γρηγορίου τοῦ Νύσσης.

συμπεριάγεσθαι. Πάππ. Ἀλεξ. σελ. 526, 19 Οὐλσχ. «στρεφομένης τῆς σφαίρας συμπεριάγεται μὲν ἡ εὐθεῖα μετὰ τοῦ ἑτέρου πέρατος». Μετ' ὀλίγα φέρεται «ἀνάγκη οὖν συμπεριφερομένην ταύτην τὴν εὐθεῖαν ΣΥΝ τῇ σφαίρᾳ, κτέ».

συντίθεσθαι. Εὐστάθ. Παρεκβ. εἰς Διονύσ. Περιηγ. 178 (σελ. 248, 23 Διδ.) «τοσοῦτον δέ, φασίν, ἡ Λιβύη ἀπολείπεται τοῦ τρίτον ἀκριβῶς εἶναι μέρος οἰκουμένης κατὰ τὴν εἰς τρία τομήν, ὥστε καὶ συντεθεῖσα μετὰ τῆς Εὐρώπης οὐκ ἂν ἐξισάζειν δόξοι τῇ Ἀσίᾳ». Ἀπολλών. Ἀλεξανδρ. περὶ Ἀντωνυμ. σελ. 39, Β' «ἔτι οὐδεμία ἀντωνυμία μετ' ἄλλου μέρους λόγου συντίθεται ἢ μόνη ἡ αὐτός» καὶ σελ. 42, Α' «μετὰ προθέσεως οὐ συντίθενται ἀντωνυμίαι» καὶ σελ. 71, Α' «καθὸ οὐδεμία ἀντωνυμία συντίθεται μετ' ἄλλου μέρους λόγου ἢ ἡ αὐτός» καὶ περὶ Συντάξ. σελ. 187, 27 «ὡς οὐδέποτε ἀντωνυμία πρώτου ἢ δευτέρου προσώπου συντίθεται μετὰ ἄλλου μέρους λόγου» καὶ σελ. 188, 1 «παράγονται γὰρ μᾶλλον αἱ ἀντωνυμίαι ἅπερ συντίθενται μετὰ ἄλλου μέρους λόγου» καὶ σελ. 324, 2 «ὁπηνίκα μέντοι συντεθεῖσα μετά τινος μέρους λόγου οὐκέτι οὐδὲ πρόθεσις καλεῖται». Ἐρρήθη δὲ καὶ κατ' ἄλλην χρῆσιν ἐν τοῖς εἰς Εὐριπίδην Σχολίοις Τόμ. Β', σελ. 143, 1 «Ἴκαρος δὲ συνθέμενος μετὰ Ἱπποκόωντος ἐξελαύνει τὸν Τυνδάρεων τῆς Σπάρτης».

συμπολιτεύεσθαι. Ψευδοπλάτ. Ἐπιστ. Α', σελ. 309 «πάντες οἱ συμπολιτευόμενοι μεθ' ὑμῶν ὑπάρχουσί μοι μάρτυρες». Πολύβ. . 152, 29 Οὐλσχ. «εἴκοσι μὲν οὖν ἔτη τὰ πρῶτα καὶ πέντε συνεπολιτεύσαντο μεθ' ἑαυτῶν αἱ προειρημέναι πόλεις» καὶ σελ. 970, καὶ σελ. 1098, 16 καὶ σελ. 1129, 26.

συνεπάγεσθαι. Ἀντωνῖν Λιβερ. ΚϚ' (Μυθογρ. Οὐεστερμ. σελ. 5, 11) «Ἡρακλῆς ὅτε μετὰ τῶν Ἀργοναυτῶν ἔπλει, στρατηγὸς αὐτῶν ἀποδειχθεὶς συνεπήγετο μεθ' αὐτοῦ καὶ Ὕλαν».

συμμεταχειρίζεσθαι. Ἰσαῖ. περὶ τοῦ Κίρρ. Κλήρ. 22 «λεγούσης ὅτι βούλοιτ' ἂν αὐτὴ τὸ σῶμα τὸ ἐκείνου συμμεταχειρίζεσθαι μεθ' ἡμῶν καὶ κοσμῆσαι».

συναγελάζεσθαι. Ἀριστ. περὶ τὰ Ζῷ. Ἱστορ. Θ', θ', 2 (Τόμ. , σελ. 175. 5 Διδ.) «τῶν δ' ἰχθύων οἱ μὲν συναγελάζονται μετ' ἀλλήλων καὶ φίλοι εἰσίν», ἀνθ' οὗ ἐν τοῖς ἔπειτα κεῖται «λάβραξ δὲ καὶ κεστρεὺς πολεμιώτατοι ὄντες κατ' ἐνίους καιροὺς συναγελάζονται ἀλλήλοις». Ὁ Πλούταρχος συνάψας τὸ συντρέφεσθαι καὶ συναγελάζεσθαι εἶπε Καμ. Ι' «κοινῷ γὰρ ἐχρῶντο τῷ διδασκάλῳ, ὥσπερ Ἕλληνες, οἱ Φαλέριοι, βουλόμενοι συντρέφεσθαι καὶ συναγελάζεσθαι μετ' ἀλλήλων εὐθὺς ἐξ ἀρχῆς τοὺς παῖδας».

συντάττεσθαι. Λουκιαν. (Ψευδολουκιαν.) Δημοσθ. Ἐγκωμ. 46 «καὶ μετὰ Καλλιμέδοντος καὶ Πυθέου καὶ Δημάδου συνεταττόμην». Στοβ. Ἐκλογ. Τόμ. Α', σελ. 226, 23 Μειν. «καθ' ἑαυτὴν οὖσαν καὶ μετὰ τοῦ σώματος συντεταγμένην».

συγκατατάττεσθαι. Ἐπιγρ. Ἀττ. Τόμ. Α', α', σελ. 56 (121, 2) «καὶ νυνὶ βοηθήσαντες μετὰ δυνάμεως συνκατετάττοντο μετὰ Ἀθηναίων».

συνάπτεσθαι. Ἡσύχ. «Συνεπλάκη: συνήφθη ἢ μετὰ γυναικὸς ἢ πρὸς ἀνδρὸς πάλῃ». Ὁ Σμιδίτιος σημειοῦται ἐν τῇ ἐκδόσει τοῦ Ἡσυχίου Τόμ. Δ', σελ. 102 «συνεπλάκη μετ' αὐτῆς Achmet Oneirocr. c. 126 p. 86».

Οὐκ ὀλίγα τῶν ὑφ' ἡμῶν μνημονευθέντων παραδειγμάτων κατέστησε γνωστὰ ὁ Γεβαυῆρος ἐν τῇ ἐκδόσει λόγων τοῦ Λυσίου Τόμ. Α', σελ. 347. Οὐδεὶς δὲ πάντως ἀγνοεῖ ὅτι συχνοτάτη ἐν τῇ Ἑλληνικῇ γλώσσῃ εἶνε ἡ σύνταξις καθ' ἣν λέγεται συμπλεῖν τινι, συμπολε-

μεῖν τινι, συναγωνίζεσθαί τινι, συνδειπνεῖν τινι, συσσιτεῖν τινι, κτλ.

Ἀναγκαῖον δ' ἡμῖν φαίνεται νὰ παρατηρηθῇ ὅτι ἐλέχθη καὶ ἑνοῦσθαι μετά τινος ὑπ' Ἀπολλωνίου τοῦ Ἀλεξανδρέως περὶ Συντάξ. σελ, 323, 10 «ὡς ἡνωμέναι μέν εἰσιν αἱ προθέσεις μετὰ τῶν ῥημάτων» καὶ ὁμιλεῖν μετά τινος ὑπὸ τοῦ Πλάτωνος Πολιτικ. σελ. 272, Γ' «μετά τε θηρίων καὶ μετ' ἀλλήλων ὁμιλοῦντες». Πρβλ. καὶ Σοφοκλ. Οἰδ. Τυρ. 366 «λεληθέναι σέ φημι σὺν τοῖς φιλτάτοις αἴσχισθ' ὁμιλοῦντ', οὐδ' ὁρᾶν ἵν' εἶ κακοῦ» καὶ 1185 «ὅστις πέφασμαι φύς τ' ἀφ' ὧν οὐ χρῆν ξὺν οἷς τ' οὐ χρῆν ὁμιλῶν».

ΚΕΦ. ΙΘ'.

Συντάσσειν μετά τινος καὶ συντάσσεσθαι μετά τινος.

Σύνηθες τοῖς γραμματικοῖς ὑπάρχει τὸ ῥῆμα συντάσσειν καὶ συντάσσεσθαι, ὡς καὶ τὸ ὄνομα σύνταξις. Καὶ συχνάκις μὲν λέγεται συντάσσειν τινί καὶ συντάσσεσθαί τινι, οὐχὶ δὲ σπανίως καὶ συντάσσειν μετά τινος καὶ συντάσσεσθαι μετά τινος.

Πολλάκις ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς ποιεῖται χρῆσιν τοῦ συντάσσειν μετά τινος καὶ συντάσσεσθαι μετά τινος καὶ συντακτέον μετά τινος, οἷον σελ. 25, 14 «ὅτι ἡ ἀνὰ πρόθεσις ἰσοδυναμοῦσα μὲν τῇ κατά αἰτιατικῇ συντάσσεται—ἑαυτῇ; δὲ οὖσα καὶ τὴν ἄνω σχέσιν δηλοῦσα ποτὲ μὲν δοτικῇ συντάσσεται—ποτὲ δὲ μετὰ αἰτιατικῆς». σελ. 56, 30 «τὸ δὲ ἕτερον μετὰ ἀπαρεμφάτου ῥήματος συντάσσεται». σελ. 533, 46 «τὸ δὲ αἶνυτο, ἁπλοῦν ὄν, συντάσσεται καὶ μετὰ γενικῆς». σελ. 755, 58 «εἰ δέ τις τὸ ῥέξας καὶ τὸ νηήσας συντάξει μετὰ τοῦ ἐπεὶ οὐκ ἐθέλω πολεμίζειν κτὲ». σελ. 818, 46 «ἐνταῦθα δὲ ὅρα καὶ τὴν ἀνά πρόθεσιν τὴν ἄνω μὲν δηλοῦσαν σχέσιν, συντασσομένην δὲ μετὰ αἰτιατικῆς, οὐ μὴν μετὰ δοτικῆς». σελ. 863. 8 «ἔνθα τὸ πάντας κολλητέον ἢ εἰς τὰ προείρηγεν — ἢ μετὰ τοῦ ὁδεύειν συντακτέον αὐτό». σελ. 876, 45 «τὸ δὲ πένθεος ἢ μετὰ τοῦ οἶδε συντάσσεται — ἢ μετὰ τοῦ ὅσσον». σελ. 888, 38 «τὸ δὲ ὕπερθεν, εἰ μὴ συντάσσεται μετὰ τοῦ εὐρύ κτέ». σελ. 971,

«διό δύναται καὶ μετὰ πλήθους συντάσσεσθαι». σελ. 1013, 62 «δὲ χεῖρας ἐμὰς μετὰ τοῦ νεμεσσηθεὶς συντακτέον μᾶλλον ἤπερ τοῦ ὑπόειξεν». σελ. 1048, 37 «τὸ δὲ ἀμφ' αὐτῷ μετὰ τοῦ ἐρείτες συντακτέον». σελ. 1049, 12 «τὸ δὲ παρὰ καυλόν οὐ συνταον μετὰ τῆς αἰχμῆς». σελ. 1074, 17 «παρέλκει τινὰς εἰς τὸ συνσσειν αὐτὸ μετὰ τοῦ μάχεσθαι». σελ. 1096, 22 «ὅτι τὸ διαλελυως ἤδη συνταχθὲν μετὰ δοτικῆς κτέ». σελ. 1097, 30 «καὶ συνσσεται καὶ νῦν τὸ πυθοίμην μετὰ γενικῆς». σελ. 1104, 53 «ὅρα ὅτι τὸ δέδια διχῇ συνέταξεν, ἤγουν μετὰ γενικῆς — καὶ μετὰ δοτῆς». σελ. 1328, 42 «τὸ δὲ κανὼν οὐ συντακτέον μετὰ τοῦ στήος, ἀλλ' ἰδίᾳ καθ' αὐτό». σελ. 1341, 30 «ὅτι πτολίπορθον κἀνταῦθα ν Ἀχιλλέα λέγει συντάσσων καὶ τὴν ἀμφί πρόθεσιν μετὰ δοτικῆς» λ. 1384, 42 «ὅτι τὸ δῖα, ἡ ἐνδοξοτάτη, διὰ τὸν Δία συντάσσεται ερθετικῶς μετὰ γενικῆς». σελ. 1456, 38 «ἐν τούτοις δὲ καὶ τὸ τησε, δοτικῇ συντάττεσθαι εἰωθός, μετὰ γενικῆς συνέταξεν». σελ. 554, 8 «ὅτι δὲ καὶ μετὰ αἰτιατικῆς δύναται ἡ τοιαύτη συνταχθῆι πρόθεσις, κτέ». σελ. 1586, 44 «τὸ δὲ οἴμης οἱ μὲν μετὰ τοῦ νδρῶν συντάσσουσιν — κάλλιον δὲ στίζειν εἰς τὸ ἀνδρῶν». σελ. 1604, 7 «καιρίᾳ δὲ οὔσῃ τῇ λέξει — τρὶς ἐν τοῖς ῥηθεῖσιν ἐχρήσατο ὁ ποιηής· συντάσσεται δὲ μετὰ αἰτιατικῆς». σελ. 1608, 23 «τὸ δὲ θελτήριον ἢ συντακτέον μετὰ τοῦ θεῶν ἢ καὶ ἁπλῶς ῥητέον θελκτήριον». ελ. 1873, 45 «τὸ δὲ ὑπ' ἐμοὶ δαμάσει μνηστῆρας συνήθως ἔχει τὴν πό πρόθεσιν συντεταγμένην μετὰ δοτικῆς». σελ. 1910, 32 «τὸ δὲ ηθὲν οὐκ ἀγαπᾷς ἔπεισε τοὺς ὕστερον ἐπὶ τοῦ ἀρκεῖσθαι τιθέναι τὸ ἀγαπᾶν, ὃ καὶ μετὰ δοτικῆς ἐκεῖνοι συντάσσουσιν». σελ. 1956, 56 «σημείωσαι δ' ἐν τούτοις καὶ τὸ ὡς εὖ μέμνητ' Ὀδυσῆος· μετὰ γενικῆς γὰρ συντέτακται τὸ μέμνηται». Πρβ. καὶ σελ. 1464, 10 «ὅτι τὸ ἀνέμνησας αἰτιατικῇ ἐνταῦθα συντάσσει — πρὸ μέντοι βραχέων ἄλλως ἔφη ἐν τῷ — γενικῇ συντάξας κοινότερον τὸ μνῆσαι· ἐν δὲ τῇ Ἰλιάδι καὶ αὐτὸ μετὰ αἰτιατικῆς ἔταξεν» καὶ σελ. 1915, 3 «καὶ τὸ ἐπιστάμενος φόρμιγγος καὶ ἀοιδῆς κατὰ γενικὴν συνταχθὲν ὁμοίως τῷ εἰδέναι καὶ τῷ γνῶναι· ἃ καὶ αὐτὰ οἶδασι παρὰ τῷ ποιητῇ καὶ τὴν μετὰ γενικῆς σύνταξιν». Ἐλέχθη δ' ὑπὸ τοῦ Εὐσταθίου καὶ συνάπτειν μετά τινος σελ. 1863, 34 «τινὲς δὲ τὸ οὔλην συνάπτοντες μετὰ τοῦ πορφυρέην φασὶν ἄμφω δηλοῦν τὴν ὁλοπόρφυρον». Πρβ.

καὶ Σχολ. Εὐκλείδ. Τόμ. Ε', σελ. 356, 23 Εἰδεργ. «μὴ γὰρ μ τις ἀναγινώσκων συναπτέτω τὸ συντεθῇ μετὰ τοῦ κατὰ μίαν».

Παρέχει δ' ἡμῖν τῆς τοιαύτης συντάξεως μαρτύρια καὶ Ἀπολλώνιος ὁ Ἀλεξανδρεὺς λέγων περὶ Ἀντωνυμ. σελ. 42, Α' «αἱ γεν καὶ πληθυντικαὶ τῶν ἀντωνυμιῶν συντάσσονται μετὰ τοῦ οὐδεὶς χωρὶς ἄρθρου» καὶ σελ. 88, Β' «πρώτου γὰρ καθεστὼς μετ' εὐθ συνταγήσεται» καὶ σελ. 146, Α' «εἰ οὖν συσταίη ἡ ἐμαυτοῦ μετ' αὐτῆς ῥῆμα τοῦ αὐτοῦ προσώπου συντάσσοιτο, γένοιντ' ἂν δυνάμει δύο εὐθεῖαι» καὶ περὶ Συντάξ. σελ. 75, 27 «τὸ ποῖος μετὰ προσηγορικῶν συντασσόμενον, ἡνίκα τὸ ἐστὶν ἐπιφέρεται, ἐπιδέχεται σύνταξιν τὴν τοῦ ἄρθρου» καὶ σελ. 273, 5 «συντασσόμενα γὰρ τὰ ὁριστικὰ μετὰ τοῦ ἵνα ἐνδείκνυται τὸ τοπικὸν ἐπίρρημα». Πρβ καὶ σελ. 84, 23 «ἔστι δὲ καὶ ἑτέρα σύνταξις μετοχικὴ μετὰ ἀπαρεμφάτου ῥήματος καὶ τῆς ὑπολοίπου συντάξεως». Ἀπαντᾷ δ' ἐν τῷ περὶ Συντάξεως συγγράμματι τοῦ Ἀπολλωνίου καὶ συναρτᾶσθαι μετά τινος καὶ σύνεστι μετά τινος καὶ συνίστασθαι μετά τινος σελ. 91, 18 «πῶς τὸ πιστὸς ἑταῖρος συναρτηθήσεται μετὰ ῥήματος» καὶ σελ. 107, 14 «ὡς σύνεστι τὰ ἄρθρα μετὰ τῶν ὀνομάτων» καὶ σελ. 261, 13 «οὐ γὰρ συνίσταται ἡ ὢν μετοχὴ μετὰ κλητικῶν».

Καὶ ἄλλα δ' οὐκ ὀλίγα τῆς περὶ ἧς ὁ λόγος συντάξεως παραδείγματα ἔχομεν νὰ μνημονεύσωμεν. Χοιροβοσκ. σελ. 475, 6 «διὰ τοῦτο μετὰ τούτων τὰ ἀπαρέμφατα συνταττόμενα τέλειον λόγον ἀποτελοῦσιν» καὶ 17 «τούτου οὖν τὰ ἀπαρέμφατα χάριν μετὰ τούτων συνταττόμενα ἀποτελοῦσι τέλειον λόγον» καὶ σελ. 714, 25 «πρῶτον μὲν οὐ μετὰ πάντων τῶν ῥημάτων τὰ ἀπαρέμφατα συνταττόμενα τέλειον λόγον ποιοῦσιν» καὶ σελ. 715, 1 «δεύτερον δὲ διὰ τοῦτο τὰ ἀπαρέμφατα μετὰ τούτων συνταττόμενα τέλειον λόγον ἀποτελοῦσιν» καὶ 13 καὶ Ἐπιμερ. εἰς Ψαλτήρ. σελ. 14, 22 «ἡνίκα ὑποτάττεται τῇ λέξει, μεθ' ἧς ὀφείλει συντάττεσθαι» καὶ σελ. 27, 20 «συντάσσεται δὲ ἡ ἐπὶ πρόθεσις μετὰ δοτικῆς καὶ γενικῆς καὶ αἰτιατικῆς» Γρηγ. Κορ. σελ. 44 Σχαιφ. «Ἀττικὸν καὶ τὴν ἐν πρόθεσιν συντάσσειν μετὰ γενικῆς». Δοξοπατρ. Ὁμιλ. εἰς Ἀφθόν. (Ῥητ. Ἑλλην. Οὐαλζ. Τόμ. Β', σελ. 224, 21 καὶ 25) «μετὰ τίνος συντέτακται». Κραμ. Ἀνέκδ. Ὀξ. Τόμ. Α', σελ. 16, 16 «ἐπειδὴ ἡ ἀπὸ πρόθεσις συντασσομένη μετὰ τῆς γενικῆς τὸν οἰκεῖον τόνον τηρεῖ» καὶ Τόμ.

σελ. 354, 22 «μετὰ ποίας πτώσεως συντάσσεται πρὸς διάφορον μασίαν;» καὶ Τόμ. Γ', σελ 271, 34 «τὸ ὡς συντάσσεται μετὰ παρεμφάτου» καὶ σελ. 272, 11 «τὸ ἴθι, εἰ μέν ἐστι ῥῆμα, συντάσσεται μετὰ μετοχῆς μέλλοντος — εἰ δὲ ἐπίρρημά ἐστι παρακελευσματικόν, ὥσπερ τὸ ἄγε, συντάσσεται μετὰ προστακτικοῦ» καὶ σελ. 273, «τὸ ἥκω τὸ ἔρχομαι συντάσσεται μετὰ μετοχῆς ἀορίστου — καὶ μετὰ μεχοχῆς μέλλοντος» καὶ Ἀνέκδ. Παρ. Τόμ. Γ', σελ. 95, 2 καὶ γενικῇ συντάσσεται, οἱ δὲ μεθ' Ὅμηρον μετὰ αἰτιατικῆς συντάσσουσιν αὐτό» καὶ σελ. 314, 26 «ἡνίκα ὑποταγῶσι τῇ λέξει, μεθ' τινος ὀφείλωσι συντάσσεσθαι» καὶ Τόμ. Δ', σελ. 254, 9 «τὸ ἄν τε παραπληρωματικὸς σύνδεσμος συντάσσεται μετὰ εὐκτικοῦ — καὶ μετὰ παρεληλυθότος ὁριστικοῦ — καὶ μετὰ ἀπαρεμφάτου». Βαχμ. Ἀνέκδ. Τόμ. Β', σελ. 63, 5 «τὸ πρὶν ἢ μετὰ ὑποτακτικοῦ συντάσσεται, νοουμένου ἔξωθεν τοῦ ἄν, ἢ μετὰ ἀπαρεμφάτου, νοουμένου τοῦ ἤ» καὶ σελ. 71, 13 «τούτου χάριν καὶ ὑποστρέφουσαι μετὰ τῶν αὐτῶν συντάσσονται» καὶ σελ. 76, 28 «καὶ ἔτι τὰ τῶν συγκριτικῶν ἐπιρρήματα μετὰ τοῦ ἢ καὶ ἀπαρεμφάτου συντάσσονται» καὶ σελ. 83 «τὸ οἶμαι καὶ τὸ βούλομαι καὶ τὰ τοιαῦτα ἀπαρεμφάτῳ συντάσσεται· τὸ δὲ ὡς οἶμαι ἢ ὡς βούλομαι ἢ μετὰ ὁριστικοῦ ἢ εὐκτικοῦ σὺν τῷ ἂν συνδέσμῳ» καὶ σελ. 86, 3 «τὸ πρέπει μετὰ νῦν συντάσσοντες» καὶ σελ. 152, 25 «ἄρθρον ἄρθρου ἀντικαταλλάσσοντες ὑποτακτικοῦ προτακτικόν, τὸ μετὰ εὐθείας συντασσόμενον τοῦ μετὰ ῥήματος» (Πρβ. καὶ σελ. 81, 16-25 καὶ σελ. 83, 32-35). Λεξ. Οὐϊνδοβ. σελ. 59, 7 Ναυκ. «περίειμι ἀντὶ τοῦ ζῶ· καὶ ἀντὶ τοῦ νικῶ, ὅτε μετὰ γενικῆς συνταχθῇ» καὶ σελ. 63, 8 «εἶναι ἀπαρέμφατον μετὰ αἰτιατικῆς συντασσόμενον καὶ δοτικῇ συντάσσεται» καὶ σελ. 66, 17 «ἐκ πρόθεσις συντάσσεται καὶ μετὰ γενικῆς καὶ δοτικῆς τῶν δυϊκῶν» καὶ σελ. 81, 12 «ἐφ' ᾧ συντάσσεται μετὰ ἀπαρεμφάτου καὶ μετὰ ὑποτακτικοῦ» καὶ σελ. 105, 7 «καὶ ἵνα ἀντὶ τοῦ καὶ διὰ τοῦτο, ὅπερ καὶ μετὰ παρεληλυθότος συντάσσεται» καὶ σελ. 144, 12 «πρὶν κοινῶς ἀπαρεμφάτῳ ῥήματι συντασσόμενον ἐπάγεται πτῶσιν αἰτιατικήν, ἀττικῶς δὲ μετὰ παρεληλυθότος ῥήματος συντασσόμενον ἐπάγεται εὐθεῖαν» καὶ σελ. 152, 3 «πρὶν συντάσσεται μετὰ εὐκτικοῦ, ἀπαρεμφάτου καὶ ὁριστικοῦ» καὶ σελ. 196, 13 «ὤφελον ὤφελες ὤφελε συντάσσεται μετὰ ἀπαρεμφάτου — εἰ δὲ

μετ' εὐθείας ἢ αἰτιατικῆς τὸ ἀπαρέμφατον συνταχθῇ, σόλοικον ποιεῖ τὸν λόγον». Σχολ. Ἀριστοφ. σελ. 336, 38 Διδ. «τὸ ἴθι ῥῆμα μὲν ὂν μετὰ μέλλοντος μετοχικοῦ συντάσσεται — ἐπίρρημα δὲ παρακελευσματικόν, ὥσπερ τὸ ἄγε, μετὰ προστακτικοῦ».

Εὑρίσκεται ἐνίοτε καὶ τὸ συντίθεσθαι μετά τινος εἰρημένον ἀντὶ τοῦ συντάσσεσθαι μετά τινος Κραμ. Ἀνέκδ. Ὀξ. Τόμ. Β', σελ. 408, 22 «στέργω: εἰ μὲν συντίθεται μετὰ δοτικῆς σημαίνει τὸ ἀρκοῦμαι· ὅταν δὲ συντίθεται μετὰ αἰτιατικῆς σημαίνει τὸ ἀγαπῶ» Παρατηρητέα δ' εἶνε ἡ μεθ' ὁριστικῆς σύνταξις τοῦ ὅταν.

Ὁ Ἰάνιος γράφει ἐν τῇ ἐκδόσει τοῦ συγγραμματίου Ἰω. τοῦ Γλυκ. περὶ Ὀρθότ. Συντάξ. σελ. 66 «συντάττονται: συντάσσονται C συνάπτονται A. Verbum συντάττω cum dat. compositum — cum μετὰ p. 16, 3. 17, 16, 17, cum πρὸς p. 16, 29, 30, cum διὰ p. 18, 8. Cf. Bast. et Schaef. ad Greg. Cor. p. 45. Συνάπτω eadem significatione cum dat. p 8, 27, 30, 35. 17, 15, cum πρὸς p. 37, 10 cum μετὰ p. 51, 21, 22, cum ἐπὶ p. 55, 4, 5»

Τῆς χρήσεως, καθ' ἣν λέγεται συντάσσειν καὶ συντάσσεσθαι πρός τι ἔχομεν οὐκ ὀλίγα μαρτύρια Σουΐδ. σελ. 165 Βεκκ. «ἀρέσκω. πρὸς αἰτιατικὴν συντάσσουσι» καὶ σελ. 490 «θαυμάζω: ὅτε πρὸς γενικὴν συντάσσομεν, τὸ καταγινώσκω σημαίνει, πρὸς δὲ αἰτιατικὴν τὸ ἐπαινῶ». Θωμ. Μάγ. σελ. 60, 12 «βασκαίνω οὐ μόνον ἀντὶ τοῦ φθονῶ, ὅπερ πρὸς δοτικὴν συντάσσεται, ἀλλὰ καὶ ἀντὶ τοῦ μέμφομαι καὶ διαβάλλω παρὰ τοῖς παλαιοῖς εἴρηται, καὶ συντάσσεται πρὸς αἰτιατικήν» καὶ σελ. 89, 3 «συντάσσεται δὲ ἀεὶ τὸ παθητικὸν πρὸς δοτικήν, εἰ καί τινες πρὸς αἰτιατικὴν πλὴν ἀδοκίμως» καὶ σελ. 138, 11 «τὸ ἔχω μετὰ ἐπιρρήματος συντεθὲν οὐ μόνον πρὸς γενικήν, ἀλλὰ καὶ πρὸς αἰτιατικὴν ἔστιν ὅτε συντασσόμενον εὑρίσκεται» καὶ σελ. 139, 2 «ὅταν μέντοι πρὸς γενικὴν συντάσσηται, τὸ εἵνεκα ἔξωθεν νοοῦμεν». Κραμ. Ἀνέκδ. Παρ. Τόμ. Δ', σελ. 27, 16 «τὸ καταπολεμεῖν πρὸς αἰτιατικὴν συντάσσεται, τὸ δὲ πολεμεῖν πρὸς δοτικήν». Βαχμ. Ἀνέκδ. Τόμ. Β', σελ. 83, 3 «ὅταν μὲν ἀμεταβάτως τὸ ῥῆμα πρὸς τὸ οὐδέτερον συντάσσηται, εὐθεῖά ἐστιν». Πρβ. καὶ Λεξ. Οὐΐνδοβ. σελ. 21, 8 «ἀγαπῶ τὸ ἀρκοῦμαι πρὸς δοτικὴν ἔχει τὴν σύνταξιν» καὶ 20 «ἀγαπᾶν ὅτε οὐ μεταβαίνει πρὸς πτῶσιν ἢ ἀπαρέμφατον, πρὸς μετοχὴν ποιεῖται τὴν σύνταξιν» καὶ Ἀπολλών. περὶ

...ντάξ. σελ. 293, 18 «ῥημάτων γὰρ συντάξεις ποιούμεθα πρὸς ...τωτικά». Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου φέρεται ...λ. 1684, 43 «τὸ δὲ θεῶν ὀλοὰς διὰ βουλὰς πρὸς τὸ ἄλγεα πά...χων συντακτέον» καὶ σελ. 1750, 27 «τὸ δὲ μέγα καὶ δασύ πρὸς ...ὸ δέρμα συντακτέον» καὶ σελ. 1753, 17 «ἀλλὰ στίξας εἰς τὸ ἀγέ...λαι εἶτα συνέταξε τὰ ἑξῆς πρὸς αἰτιατικὴν διὰ τὸ βόσκουσι» καὶ σελ. 1756, 35 «αὐτὸ καθ' αὑτὸ κεῖται δίχα συντάξεως τῆς πρὸς πτῶσίν τινα» καὶ μετ' ὀλίγα «καὶ ὅτι ἀδιαφόρως συνέταξε τὸ αὐτὸ ῥῆμα κατά τε αἰτιατικὴν καὶ γενικὴν εἰπών κτέ». Ἐν δὲ τοῖς εἰς Αἰσχύλον Σχολίοις κεῖται σελ. 324, 21 Διν δ. «σημείωσαι τὴν σύνταξιν· πρῶτον μὲν γὰρ πρὸς τὸ ἀκούσασα συνέταξε τὸ ὅττοδον, εἶτα ἐνήλλαξε διὰ τοῦ ὅτι» καὶ σελ. 467, 24 «τὸ διὰ ὑπερβατῶς πρὸς τὸ τέγγουσι συντακτέον». Ἐν δὲ τοῖς εἰς Ἀριστοφάνη Σχολίοις ἀπαντᾷ σελ. 110, 44 «οὐκ ἔστιν ἐνταῦθα τὸ συντυχοῦσα ἀντὶ τοῦ συναντήσασα, ὥς τινες οἴονται, συντάσσοντες πρὸς τοῦτο τὸ ἡμῖν· ἀλλὰ τὸ συντυχοῦσα λέγε ἀντὶ τοῦ κατὰ τύχην φανεῖσα καὶ εὑρεθεῖσα, συντάσσων τὸ ἡμῖν πρὸς τὸ ἐπέστειλεν» καὶ σελ. 326, 15 «ὧν τὸ μὲν πρὸς γενικὴν συντάσσεται, τὸ δὲ ἀκούω πρὸς ἀπαρέμφατον ἢ πρὸς αἰτιατικήν» καὶ σελ. 327, 40 «τὸ μεθίημι ἐνεργητικῶς πρὸς αἰτιατικὴν συντάσσεται — παθητικῶς δὲ πρὸς γενικήν» καὶ σελ. 329, 37 «καὶ μὴν ὅταν δηλοῖ αἰτίαν, αἰτιατικῇ μὲν ὡς ἐπὶ τὸ πολὺ συντάσσεται· ἀλλὰ καὶ πρὸς γενικὴν εὕρηται σπανίως» καὶ σελ. 335, 29 «καὶ δέδοικα μὲν ἐγὼ ἀμεταβάτως, δεδίττω δὲ ἕτερον πρὸς αἰτιατικὴν συντασσόμενον» καὶ σελ. 362, 9 «τὸ αἰσθάνεσθαι πρότερον πρὸς γενικὴν συντάξας νῦν πρὸς αἰτιατικὴν ἀπέδωκεν». Πρβ. καὶ σελ. 8, 34 «ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος — ἐὰν δὲ πρὸς δοτικήν, σημαίνει φιλίαν καὶ συμμαχίαν» καὶ σελ. 117, 38 «ἔστι γὰρ αὕτη ἡ γενικὴ πρὸς τὸ ἀπολάψεις» καὶ σελ. 118, 21 «ἀλλ' ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ ἐλήλυθας». Λέγεται δ' ἐν τοῖς Σχολίοις τούτοις καὶ «τὸ ἀνακοινοῦσθαι πρὸς τὸ πράγματα σύναπτε καὶ ἀντιγραφάς» (σελ. 104, 38) καὶ «σύναπτε τοῦτο πρὸς τὸ εὖ» (σελ. 335, 24) καὶ «τοῦτο πρὸς τὸ ἄχθομαι συναπτέον» (σελ. 337, 40) καὶ «συνάπτεται πρὸς τὸ προβατίων» (σελ. 341, 46) καὶ «σύναπτε τὸ ἀριθμὸν πρὸς τὸ οὐδὲ λέγω σοι» (σελ. 353, 24) καὶ

«τὸ δὲ ὡς νομίζεται ἢ πρὸς τὸ ἐκφέρειν σύναπτε — ἢ πρὸς τὸ ἄγειν» (σελ. 358, 47). Πρβ. καὶ Σχολ. Σοφοκλ. Τόμ. Β', σελ. 302, 20 «τὸ πάλαι πρὸς τὸ εἶπον συναπτέον καὶ οὐ πρὸς τὸ δοίην». Τῷ Ἀπολλωνίου τοῦ Ἀλεξανδρέως εἶνε εἰρημένον περὶ Συντάξ. σελ. 12, 10 «καὶ ποῖα ῥήματα πρὸς τὰς εὐθείας μόνον συναρτᾶται καὶ τίνα αὐτῶν πλαγίας ἐπιζητεῖ» καὶ σελ. 282, 26 «τὰ πρὸς εὐθεῖαν συναρτώμενα τῶν ῥημάτων, οὐκ ἀπαιτοῦντα πλαγίαν πτῶσιν, οὐδὲ παρακειμένην ἕξει παθητικὴν προφοράν». Πρβ. καὶ Σχολ. Ἰλ. σελ. 27, 6 Βekk. «τοῦ τινά πληθυντικῶς λαμβανομένου καὶ πρὸς τὸ ἅ συναρτωμένου». Γίνεται δ' ὑπὸ τοῦ Ἀπολλωνίου χρῆσις καὶ τοῦ φέρεσθαι ἐπί τι ἐφ' ὁμοίας ἐννοίας τῷ συντάσσεσθαι πρός τι, οἷον περὶ Συντάξ. σελ. 240, 14 «εἰ ἀληθεύει τὸ ἐπὶ αἰτιατικὴν αὐτὰ πάντως φέρεσθαι» καὶ σελ. 286, 15 «ἴσως τις οἰήσεται τὸ βούλομαι, προαιροῦμαι, θέλω, τὰ τούτοις ὅμοια ἐπὶ αἰτιατικὴν πτῶσιν μὴ φέρεσθαι» καὶ σελ. 288, 2 «καὶ ἕνεκα τούτου τὸ πεύθετο καταλλήλου ἔχεται φερόμενον ἐπ' αἰτιατικὴν πτῶσιν κατὰ τὴν Ὁμηρικὴν χρῆσιν» καὶ 9 «πρόκειται γὰρ ἡ συζυγία τῶν τοιούτων ἐπ' αἰτιατικὴν φερομένη» καὶ 19 «ὡς οὐδεμιᾶς ὄντα ἐνεργείας ἐμφαντικὰ φέρεται ἐπ' αἰτιατικήν» καὶ σελ. 301, 15 «τὸ γὰρ τέμνοιμι εὐκτικὸν ὂν πάλιν ἐπ' αἰτιατικὴν φέρεται» καὶ ἀλλαχοῦ πολλαχοῦ καὶ περὶ Συνδέσμ. σελ. 505, 5 «ὁ σύνδεσμος πάντοτε ἐπὶ γενικὴν πτωτικοῦ φέρεται». Ὡς δὲ λέγεται συνάπτεσθαι πρός τι καὶ συναπτέον πρός τι, οὕτω καὶ κολλᾶσθαι πρός τι καὶ κολλητέον πρός τι ὑπὸ τοῦ Εὐσταθίου ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1858, 63 «ἀμφίβολον εἴτε πρὸς τὸν Ὀδυσσέα εἴτε πρὸς τὸ ἦτορ κολλητέον τὸ φίλον» καὶ σελ. 1896, 6 «τὸ δὲ οὐδὲν ἀεικὴς πρὸς τὸ τετυγμένος κολλᾶται» καὶ σελ. 1957, 29 «τὸ δὲ καλόν ἢ πρὸς τὸ ἀγρὸν κολλητέον — ἢ πρὸς τὸ τετυγμένον». Πρβ. καὶ Σχολ. Ὀδυσσ. σελ. 529, 10 Δινδ. «ἔνιοι δὲ βιαιότερον ὑπερβατῶς κολλῶντες τὸ ὠκεανοῖο τῷ ὅθι τ' ἠοῦς ἠριγενείης».

Εὑρίσκεται δ' ἐνίοτε τεθειμένη ἡ εἰς πρόθεσις ἀντὶ τῆς πρός, οἷον Σχολ. Εὐριπ. Τόμ. Γ', σελ. 38, 18 «εὐίπποις ἄναξ: κατὰ ζῆλον Ὁμηρικὸν Εὐριπίδης εἰς δοτικὴν τὸ ἄναξ συντέταχεν» καὶ Σχολ. Σοφοκλ. Τόμ. Β', σελ. 302, 21 «ἰστέον ὅτι τὰ ἀπαρέμφατα, εἰ μὴ προηγεῖται εὐθεῖα, οὐδέποτ' εἰς εὐθεῖαν συντάσσεται» καὶ σελ. 335,

πρῶτον γὰρ εἰς αἰτιατικὴν συνέταξε ψευσθεῖσα χάριν ἀκάρπω-
λέγων· εἶτα πρὸς δοτικὴν ἐπλαγίασε κλυτῶν ἐνάρων ψευσθεῖσα
ις». Λέγεται δὲ καὶ κατ' ἔλλειψιν τοῦ ῥήματος παρὰ Θωμᾷ
Μαγίστρῳ σελ. 146, 9 «ἐξήρτημαι ἀντὶ τοῦ ἐκκρέμαμαι οὐ
ν πρὸς γενικήν, ἀλλὰ καὶ πρὸς δοτικήν» καὶ ἐν τοῖς Βεκκήρου
κδότοις σελ. 119, 6 «ἀποστερῶ: γενικῇ — ἀλλὰ καὶ πρὸς
ατικήν» καὶ σελ. 129, 23 «ἀγαπῶ: δοτικῇ — καὶ πρὸς αἰτια-
ν» καὶ σελ. 135, 26 «ἐνοχλῶ: δοτικῇ· Δημοσθένης — ὁ αὐτὸς
πρὸς αἰτιατικήν» καὶ σελ. 143, 6 «ἐπιστατῶ: δοτικῇ — καὶ
; γενικήν» καὶ σελ. 148, 9 «Θαρρῶ: αἰτιατικῇ· τρίτῳ Ὀλυν-
ῳ — ὁ δὲ Ἰσοκράτης ἐν τῷ περὶ τῆς Εἰρήνης πρὸς δοτικήν» καὶ
οῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 336, 26 «πλουτῶ ἀμεταβάτως
τοῦ πλοῦτον ἔχω· καὶ πλουτῶ μεταβατικῶς πρὸς αἰτιατικήν,
πλουτῶ ἀρετήν· καὶ πλουτῶ μεταβατικῶς πρὸς γενικήν». Πρβ.
σελ. 126, 25 «τὸ δὲ ὥστε πρὸς τὸ μεμάθηκε» καὶ Σχολ.
σελ. 228, 32 Βεκκ. «ἡ γὰρ ἀπὸ πρὸς τὸ ἔεργεν». Εἶπε δὲ καὶ ὁ
ιδας κατ' ἔλλειψιν τοῦ ῥήματος σελ. 573 Βεκκ. «κατακοντίζω σε
πολέμου μετὰ αἰτιατικῆς» καὶ ὁ Εὐστάθιος σελ. 1116, 30 «ὅρα
καὶ ὡς ἀμύνεσθαι μὲν στίχας μετὰ αἰτιατικῆς τὸ παθητικόν· ἀμύ-
δὲ ζωοῖς μετὰ δοτικῆς τὸ ἐνεργητικόν». Περὶ τῆς ἐλλείψεως ταύ-
; γίνεται λόγος ἐν ταῖς Ἐλλείψεσι τοῦ Βοσίου σελ. 656 Σχαιφ.
Συντάσσειν: Saepissime Grammatici omittunt. Suidas T.
p. 426. Βδελύσσω, αἰτιατικῇ. καὶ Βδελύττεσθαι, αἰτιατικῇ. s.
ντάσσεται (seu συντακτέον). p. 471. Γεμίζω. γενικῇ. ἔστι δὲ καὶ
ιατικῇ. ubi ad ἔστι subaudi συντάσσειν: nisi scribendum ἔτι.
I. p. 752. Port. Διοχλῶ. δοτικῇ. διοχλοῦμαι δέ, αἰτιατικῇ. quae
Kusteriana frustra quaeras. T. II. p. 293. Port. Ὀλιγωρῶ.
νικῇ. His etiam Kusteriana caret. Thomas Mag. p. 705. καὶ
ριβάλλω, τὸ περιτίθημι ὅπερ οὐ μόνον δοτικῇ, ἀλλὰ καὶ αἰτιατικῇ
ρηται. Oudendorpius: «Scil. συντασσόμενον. Vide in Πειρῶ
ibi plene: αἰτιατικῇ συντασσόμενον.] et alibi, ac passim apud
uidam. p. 715. τὸ δὲ προπίνω, ἀεὶ αἰτιατικῇ. Schaef.».

Παρατιθέμεθα καὶ τὰ γεγραμμένα ἐν τῇ Σχαιφηρείῳ ἐκδόσει Γρη-
γορίου τοῦ Κορίνθου σελ. 45 «[Bastius: «Codex is a prima manu
abet vulgatam scripturam συντάσσειν μετὰ γενικῆς. Hanc cor-

rector, sine causa offensus constructione (*v. Lettre Critiq*. p. 124. s.), mutavit in συντάσσειν γενικῇ». Obiter nota Grammaticorum locutionem, συντάσσειν ἀπὸ-εἰς-. Thomas Mag. p. 81 συντάσσονται δὲ ἀπὸ δοτικῆς εἰς γενικήν. Phavorinus v. Μέλει συντάσσεται δὲ διπλῶς. ἰωνικῶς μὲν ἀπὸ δοτικῆς εἰς εὐθεῖαν. — ἀττικῶς δέ, ἀπὸ γενικῆς εἰς δοτικήν. Κατ' ἔλλειψιν Thomas Mag. p. 8 ἀπὸ δοτικῆς εἰς γενικήν. Scholiastes ad Philostrati Her. p. 595. Boiss. ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Augeant haec L. Bos Ellips. p. 656. Schaef.». Παρὰ Θωμᾷ τῷ Μαγίστρῳ φέρεται σελ. 33, 6 «Καὶ ἀφαιρῶ καὶ ἀφαιροῦμαι: συντάσσεται δὲ καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικὴν καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν» καὶ σελ. 16, 12 «ζηλῶ καὶ τὸ μακαρίζω ἀπὸ αἰτιατικῆς εἰς γενικὴν συντασσόμενον». Τὴν αὐτὴν ἔννοιαν κατ' ἄλλον τρόπον ἐκφέρει ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς λέγων σελ. 1773, 7 «... δὲ τὸ ὑπομνήσασα γενικῇ συνταχθὲν μετὰ καὶ αἰτιατικῆς». Τῆς κατ' ἔλλειψιν τοῦ ῥήματος ἐκφορᾶς μνημονεύομεν καὶ τάδε τὰ παραδείγματα. Λεξ Οὐϊνδοβον. σελ. 45, 1 δωροῦμαι ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν καὶ ἀντιστρόφως κατὰ Ἀττικούς» καὶ σελ. 12, 17 «μεταδίδωμι ἀπὸ δοτικῆς εἰς γενικήν· ἀττικῶς ἀπὸ δοτικῆς εἰς αἰτιατικήν» καὶ σελ. 146, 5 «πιστεύω δὲ ἀντὶ τοῦ ἐμπιστεύομαι ἀπὸ δοτικῆς εἰς αἰτιατικήν» καὶ σελ. 152, 19 «παύω ἀντὶ τοῦ ἀφίσταμαι καὶ λήγω, καὶ ἀμετάβατον, ὃ γενικῇ μόνῃ συντάσσεται, καὶ μεταβατικόν, ὃ ἀπὸ αἰτιατικῆς εἰς δοτικήν» καὶ σελ. 181, 10 «ὑπομιμνήσκω: ἀπὸ αἰτιατικῆς εἰς γενικήν — καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν». Σχολ. Εὐριπίδ. Τομ. Α'. σελ. 415, 3 ... «ἀξιῶ: τὸ καθικετεύω αἰτιατικῇ· ἀξιῶ τὸ ἄξιον κρίνω καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ ἀπὸ αἰτιατικῆς εἰς γενικήν» καὶ Τόμ. Γ'. σελ. 400, 5 «σημείωσαι ἐνταῦθα τὸ κοινοῦσθαι ἀπὸ δοτικῆς εἰς γενικὴν ἀντὶ τοῦ κοινωνεῖν λαμβανόμενον· ἀεὶ γὰρ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν εὑρίσκεται ἀντὶ τοῦ κοινοποιεῖν ὄν» Σχολ. Σοφοκλ. Τόμ. Β', σελ. 224, 3 «κατηγορῶ σου ἀγαθὰ ἢ φαῦλα ἀπὸ γενικῆς εἰς αἰτιατικήν· κατηγορεῖν δὲ τὸ παριστᾶν καὶ δεικνύειν μετὰ αἰτιατικῆς μόνης λέγεται». Σημειωτέον δ' ὅτι ἐν τῇ περὶ ἧς ὁ λόγος ἐκφορᾷ εὑρίσκεται καὶ τὸ ἔχει τὴν σύνταξιν τεθειμένον ἀντὶ τοῦ συντάσσεται, οἷον Σχολ.

... Τόμ. Β', σελ. 43, 12 «κατηγορεῖν καὶ τὸ κατά τινος ἀγο-... καὶ ἔχει τὴν σύνταξιν ἀπὸ γενικῆς εἰς αἰτιατικήν» καὶ σελ. 63, ...δωροῦμαι τὸ παρέχω ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔχει τὴν σύντα-... — δωροῦμαι δὲ τὸ δεξιοῦμαι καὶ φιλοφρονῶ ἀπὸ αἰτιατικῆς εἰς δο-... καὶ Σχολ. Σοφ. Τόμ. Β', σελ. 156, 20 «τὸ ἀποστερῶ ἐνίοτε ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν, ἐνίοτε δὲ καὶ ἀπὸ ...τικῆς εἰς αἰτιατικήν» καὶ σελ. 268, 22 «ἡγοῦμαι τὸ ἄρχω, ... συντάσσεται γενικῇ· καὶ τὸ ἡγεμονεύω καὶ ὁδηγῶ, (καὶ) ἔχει τὴν ...ταξιν ἀπὸ δοτικῆς εἰς αἰτιατικήν» καὶ σελ. 271, 24 «σώζω τινά ... τοῦ σωτὴρ αὐτοῦ γίνομαι καὶ ῥύομαι αὐτόν, ὅτε καὶ ἀπὸ αἰτια-...ῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν» καὶ Σχολ. Ἀριστοφ. σελ. 372, ... «κατηγορῶ κατά τινος λέγεται (γρ. λέγω), ὃ καὶ ἀπὸ γενικῆς ...ς αἰτιατικὴν ἔχει τὴν σύνταξιν».

ΚΕΦ. Κ'.

Κάλλιστ' ἔχει καὶ ἀμεμπτότατον εἶνε τὸ: ...μετὰ παρεμφατικῆς ἐγκλίσεως συνεκφέρεται τὸ καίτοι.

Πολλάκις ὑπὸ τῶν νέων Ἑλλήνων γίνεται χρῆσις ἐν τῷ ἀστείῳ λόγῳ τοῦ συζῶ μετά τινος καὶ συνοικῶ μετά τινος καὶ συν-δειπνῶ μετά τινος καὶ ἄλλων τοιούτων· λέγεται δ' ὑπ' αὐτῶν συχνάκις καὶ συντάσσεταί τι μετά τινος, τὸ ὄνομα ἢ τὸ ῥῆμα τοῦτο συντάσσεται μετὰ γενικῆς, κτλ. τὰ μετὰ δοτικῆς συν-τασσόμενα ῥήματα, κτλ. αἱ μετὰ μιᾶς πτώσεως συντασσό-μεναι προθέσεις, κτλ. Ὡσαύτως δὲ καὶ συντίθεταί τι μετά τι-νος ἢ σύγκειταί τι μετά τινος, κτλ. Πάντα ταῦτα ἔχουσι κάλ-λιστα, οὐδεὶς δ' οὐδέποτε οὐδὲν αὐτῶν ἐνόμισε μεμπτόν. Ὀρθότατον εἶνε καὶ τὸ ὑπὸ τοῦ Ι. Εὐθυβουλίδου ἐν τῇ Κλειοῖ λεχθὲν «μετὰ πα-ρεμφατικῆς ἐγκλίσεως συνεκφέρεται τὸ καίτοι», ἀτοπώτατα δ' ὁ Γρ. Βερναρδάκης ἔψεξεν αὐτὸ ἐν τῇ Νέᾳ ἡμέρᾳ 917 (1873, 12 Ἀπριλ.) διὰ τῆς συντόμου παρατηρήσεως «*Ποίαν σημασίαν ἔχει ἡ πρόθεσις σύν*;». Ἀτριβέστατος τῆς Ἑλληνικῆς γλώσσης ὁ ἄνθρω-πος ὢν κακὴν καὶ φευκτὴν ὑπελάμβανε χρῆσιν συνήθη οὖσαν ἔν τε τῷ

rector, sine causa offensus constructione (*v. Lettre Critiq.* p. 124. s.), mutavit in συντάσσειν γενικῇ». Obiter nota Grammaticorum locutionem, συντάσσειν ἀπὸ-εἰς-. Thomas Mag. p. 81 συντάσσονται δὲ ἀπὸ δοτικῆς εἰς γενικήν. Phavorinus v. Μέλει· συντάσσεται δὲ διπλῶς. ἰωνικῶς μὲν ἀπὸ δοτικῆς εἰς εὐθεῖαν. — ἀττικῶς δέ, ἀπὸ γενικῆς εἰς δοτικήν. Κατ' ἔλλειψιν Thomas Mag. p. 85 ἀπὸ δοτικῆς εἰς γενικήν. Scholiastes ad Philostrati Her. p. 595. Boiss. ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Augeant haec L. Bos. Ellips. p. 656. Schaef.». Παρὰ Θωμᾷ τῷ Μαγίστρῳ φέρεται σελ. 33, 6 «Καὶ ἀφαιρῶ καὶ ἀφαιροῦμαι: συντάσσεται δὲ καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικὴν καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν» καὶ σελ. 16 12 «ζηλῶ καὶ τὸ μακαρίζω ἀπὸ αἰτιατικῆς εἰς γενικὴν συντασσόμενον». Τὴν αὐτὴν ἔννοιαν κατ' ἄλλον τρόπον ἐκφέρει ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς λέγων σελ. 1773, 7 «... δὲ τὸ ὑπομνήσασα γενικῇ συνταχθὲν μετὰ καὶ αἰτιατικῆς». Τῆ κατ' ἔλλειψιν τοῦ ῥήματος ἐκφορᾶς μνημονεύομεν καὶ τάδε τὰ παραδείγματα. Λεξ Οὐΐνδοβον. σελ. 45, 1 δωροῦμαι ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν καὶ ἀντιστρόφως κατὰ Ἀττικούς» καὶ σελ. 12 17 «μεταδίδωμι ἀπὸ δοτικῆς εἰς γενικήν· ἀττικῶς ἀπὸ δοτικῆς εἰς αἰτιατικήν» καὶ σελ. 146, 5 «πιστεύω δὲ ἀντὶ τοῦ ἐμπιστεύομαι ἀπὸ δοτικῆς εἰς αἰτιατικήν» καὶ σελ. 152, 19 «... ἀντὶ τοῦ ἀφίσταμαι καὶ λήγω, καὶ ἀμετάβατον, ὃ γενικῇ μόνῃ συντάσσεται, καὶ μεταβατικόν, ὃ ἀπὸ αἰτιατικῆς εἰς δοτικήν» καὶ σελ. 181, 10 «ὑπομιμνήσκω: ἀπὸ αἰτιατικῆς εἰς γενικήν — καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν». Σχολ. Εὐριπίδ. Τόμ. Α'. σελ. 415, 3 ... «ἀξιῶ: τὸ καθικετεύω αἰτιατικῇ· ἀξιῶ τὸ ἄξιον κρίνω καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ ἀπὸ αἰτιατικῆς εἰς γενικήν» καὶ Τόμ. Γ'. σελ. 400 5 «σημείωσαι ἐνταῦθα τὸ κοινοῦσθαι ἀπὸ δοτικῆς εἰς γενικὴν ἀντὶ τοῦ κοινωνεῖν λαμβανόμενον· ἀεὶ γὰρ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν εὑρίσκεται ἀντὶ τοῦ κοινοποιεῖν ὄν». Σχολ. Σοφοκλ. Τόμ. Β', σελ. 224, 3 «κατηγορῶ σου ἀγαθὰ ἢ φαῦλα ἀπὸ γενικῆς εἰς αἰτιατικήν· κατηγορεῖν δὲ τὸ παριστᾶν καὶ δεικνύειν μετὰ αἰτιατικῆς μόνης λέγεται». Σημειωτέον δ' ὅτι ἐν τῇ περὶ ἧς ὁ λόγος ἐκφορᾷ εὑρίσκεται καὶ τὸ ἔχει τὴν σύνταξιν τεθειμένον ἀντὶ τοῦ συντάσσεται, οἷον Σχολ.

...π. Τόμ. Β', σελ. 43, 12 «κατηγορεῖν καὶ τὸ κατά τινος ἀγο-...ειν καὶ ἔχει τὴν σύνταξιν ἀπὸ γενικῆς εἰς αἰτιατικήν» καὶ σελ. 63, «δωροῦμαι τὸ παρέχω ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔχει τὴν σύντα-...ν — δωροῦμαι δὲ τὸ δεξιοῦμαι καὶ φιλοφρονῶ ἀπὸ αἰτιατικῆς εἰς δο-...» καὶ Σχολ. Σοφ. Τόμ. Β', σελ. 156, 20 «τὸ ἀποστερῶ ἐνίοτε ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν, ἐνίοτε δὲ καὶ ἀπὸ ...ατικῆς εἰς αἰτιατικήν» καὶ σελ. 268, 22 «ἡγοῦμαι τὸ ἄρχω, ... συντάσσεται γενικῇ· καὶ τὸ ἡγεμονεύω καὶ ὁδηγῶ, (καὶ) ἔχει τὴν ...ταξιν ἀπὸ δοτικῆς εἰς αἰτιατικήν» καὶ σελ. 271, 24 «σώζω τινά ...τὶ τοῦ σωτὴρ αὐτοῦ γίνομαι καὶ ῥύομαι αὐτόν, ὅτε καὶ ἀπὸ αἰτια-...κῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν» καὶ Σχολ. Ἀριστοφ. σελ. 372, 1 «κατηγορῶ κατά τινος λέγεται (γρ. λέγω), ὃ καὶ ἀπὸ γενικῆς ...ῶς αἰτιατικὴν ἔχει τὴν σύνταξιν».

ΚΕΦ. Κ'.

Κάλλιστ' ἔχει καὶ ἀμεμπτότατον εἶνε τό: ...μετὰ παρεμφατικῆς ἐγκλίσεως συνεκφέρεται τὸ καίτοι.

Πολλάκις ὑπὸ τῶν νέων Ἑλλήνων γίνεται χρῆσις ἐν τῷ ἀστείῳ λόγῳ τοῦ συζῶ μετά τινος καὶ συνοικῶ μετά τινος καὶ συν-δειπνῶ μετά τινος καὶ ἄλλων τοιούτων· λέγεται δ' ὑπ' αὐτῶν συχνάκις καὶ συντάσσεταί τι μετά τινος, τὸ ὄνομα ἢ τὸ ῥῆμα τοῦτο συντάσσεται μετὰ γενικῆς, κτλ. τὰ μετὰ δοτικῆς συν-τασσόμενα ῥήματα, κτλ. αἱ μετὰ μιᾶς πτώσεως συντασσό-μεναι προθέσεις, κτλ. Ὡσαύτως δὲ καὶ συντίθεταί τι μετά τι-νος ἢ σύγκειταί τι μετά τινος, κτλ. Πάντα ταῦτα ἔχουσι κάλ-λιστα, οὐδεὶς δ' οὐδέποτε οὐδὲν αὐτῶν ἐνόμισε μεμπτόν. Ὀρθότατον εἶνε καὶ τὸ ὑπὸ τοῦ Ι. Εὐθυβουλίδου ἐν τῇ Κλειοῖ λεχθὲν «μετὰ πα-ρεμφατικῆς ἐγκλίσεως συνεκφέρεται τὸ καίτοι», ἀτοπώτατα δ' ὁ Γρ. Βερναρδάκης ἔψεξεν αὐτὸ ἐν τῇ Νέᾳ ἡμέρᾳ 917 (1873, 12 Ἀπριλ.) διὰ τῆς συντόμου παρατηρήσεως «*Ποίαν σημασίαν ἔχει ἡ πρόθεσις σύν*;». Ἀτριβέστατος τῆς Ἑλληνικῆς γλώσσης ὁ ἄνθρω-πος ὢν κακὴν καὶ φευκτὴν ὑπελάμβανε χρῆσιν συνήθη οὖσαν ἔν τε τῷ

δοκίμῳ καὶ τῷ ἀδοκίμῳ ἑλληνισμῷ, περὶ ἧς καὶ παλαιότεροι φιλόλογοι ἐποιήσαντο λόγον, ὁ Βάστιος καὶ ὁ Μαιτζνῆρος καὶ ὁ Οὐηβέρος καὶ ἄλλοι.

Βάστιος ἐν τῇ Κριτικῇ Ἐπιστολῇ σελ. 163 «Συνεπήγετο μετ' αὐτοῦ καὶ Ὕλαν: Dicebant veteres συνεπήγετο αὐτῷ et μεθ' αὐτοῦ. Et hoc et illud aequa virtute. Plato. *Repuplica*, l. IV, (vol. VI. p. 332, *ed. bipont.*) συμπολεμήσαντες μεθ' ἡμῶν. Lucian. vol III, p. 280, συνέπιε μεθ' ἡμῶν. Praeterea vid. p. 293, 3. et 335, et Brunckius ad *Aristoph. fragm.* vol. III, p. 22. Alciphron, l. III, ep. 28, πλὴν τοῦ συγκαθεύδειν μετὰ σοῦ. Wagnerus in nota, *Cod. Vind. B.*, inquit σοὶ συγκαθεύδειν, *omissis postea* μετὰ σοῦ. *Idem voluit Gloss. Eichstad.*, *vel* καθεύδειν *sine* σύν. *Recte, sic enim pleonasmus vulgatae* συγκαθεύδειν μετὰ σοῦ *tollitur*. Pleonasmus vero nihil offendit. Optimi, qui Parisiis sunt, codices et ipsi habent μετὰ σοῦ textus, qualem Berglerus dedit, non est mutandus. Lucianus vol, III, p. 284, ἀλλ' οὐδὲ τῆς νυκτός, οἶμαι, συνεκάθευδες. Codices Vaticani addunt μετ' αὐτοῦ. *Ibid.* p. 292, μετὰ μειράκ... μὲν ὡραίου γενομένη, codex N°. 87. ultimum verbum in συγκαθευδήσασα mutat. quod nihil aliud est, quam glossa. Adnoto praeterea, apud *Platonem* saepissime occurrere phrasin, συνεῖναι μετά τινος. Vid. e. c. *convivium*, cap. XVIII, μετὰ δὲ νέων ἀεὶ ξύνεστί τε καὶ ἔστιν. Laudo hunc locum, ut ostendam, me repudiare coniecturam μετὰ δὲ νέων ξύνεστί τε και ἀεί ἐστιν, quam proposui in *tentamine de Platonis convivii textu critico*, p 56. Quodammodo inutilis est, quod e Plutarcho cernitur, quem laudat Wyttenbachius (de sera num. vind. p. 36), τὰ αὐτῇ καὶ μετ' αὐτῆς ὄντα καὶ συνόντα». Πρβ. καὶ Σειλῆρον εἰς Ἀλκίφρ. σελ. 102.

Μαιτζνῆρος ἐν τῇ ἐκδόσει τοῦ Λυκούργου σελ. 299 «κοινῇ μετὰ τῶν ἄλλων — συνατυχοῦντες: Creberrime verba cum praepositione σὺν composita cum substantivis construuntur adjecta praepositione μετά. Cf. Aristophan. Ecclesiaz. 1190. ξυνεστιάσοῦμαι γὰρ μετὰ σοῦ. Dem. de cor. § 229. μετὰ Φιλίππου συνεμβαλεῖν. ib § 230, συμπολεμεῖν τοὺς Βυζαντίους μεθ' ἡμῶν. in Mid.

§ 127. τοὺς συνεξεταζομένους μετὰ τούτου. in Olympiodor. § 43. εἰ μὴ μετὰ σοῦ κοινῇ συνηγωνιζόμην. Alia hoc genus vide apud Lobeck. ad Phrynich. p. 354. Wurm. Commentar. in Dinarch. p. 133». Πρβ. καὶ σελ. 345.

Οὐήβηρος ἐν τῇ ἐκδόσει τοῦ κατ' Ἀριστοκράτους λόγου τοῦ Δημοσθένους σελ 210 «ὁμοῦ διατρίψομεν: Ita Bekkerus; Reiskius et Dindorfius συνδιατρίψομεν scripserunt, quod firmari videtur Regulis Prosodicis ab Hermanno edidis p. 467., quas Schaeferus citavit, ubi haec Demosthenica: πονηροῖς οὖσιν ὁμοῦ συνδιατρίβομεν. Ea tamen grammaticum opinor e memoria non acri exposuisse, ut iam vv. πονηροῖς οὖσιν ostendunt. Affert etiam Schaeferus Platonis scholia, in quibus διατρίψομεν extat. Probarem illam scripturam, si ad libros, quos duumviri illi sequuti sunt, unus et alter e Bekkeri optimis accederet. Orat. de coron. 229. p. 304. iidem plurimi libri μεθ' ἡμῶν συμπαραταξαμένους et 314. p 330. τὸν συζῶντα μεθ' ὑμῶν omnes illi habent. patrocinante itidem Reiskio, non autem Bekkero, qui e suis παραταξαμένους et τὸν νῦν ζῶντα dedit, cuique Dindorfius adsentitur. Solent enim scriptores verbis cum σύν praepositione iunctis addere ὁμοῦ vel μετὰ cum genitivo et similia. Sophocl. Trach. 545. Demosth. orat. de fals. legat. 291. p. 434. de coron. 229. p 304. μετὰ Φιλίππου συνεμβαλεῖν, ibid. 231. p 304. συμπολεμεῖν τοὺς Ἀθηναίους μεθ' ἡμῶν πρὸς ἐκεῖνον, apud Aeschinem συσσιτεῖν, συνᾄδειν μετά τινος. Vid. Lobeck. not ad Phryn. p. 354». Πρβ. καὶ Πόππον εἰς Θουκυδ. Μέρ. Γ', δ', σελ. 659 ἐκδ. μεγ.

Καὶ ὁ Εὐθυβουλίδης δ' ὑπερμαχῶν τῆς φράσεως τῆς ὑπ' αὐτοῦ ῥηθείσης ἔγραψεν ἐν τῇ Κλειοῖ 623 (1873, 7 Ἰουν.): Ἐν τῇ αὐτῇ στήλῃ λέγεις «μετὰ παρεμφατικῆς ἐγκλίσεως συνεκφέρεται τὸ καίτοι». Ποίαν σημασίαν ἔχει ἡ πρόθεσις σύν;. Νόστιμος ἐρώτησις! Ἔπρεπε νὰ παραλίπω ἄραγε τὴν πρόθεσιν σύν ὡς περιττήν, ἀφ' οὗ ἕπεται ἡ μετά; Πολὺ καλά. Ἀλλὰ παρακαλῶ τὸν σοφὸν διδάκτορα νὰ ἐρωτήσῃ πρῶτον τὸν Πλάτωνα, τὸν Εὐριπίδην, τὸν Ἀριστοφάνην, τὸν Θουκυδίδην κλ. διατί ἔγραψαν· 1) συμπολεμήσαντες μεθ' ἡμῶν· 2) συμποιεῖν μετά τινος· 3) μηδεὶς ἐπιόρκων μέτα συμπλείτω·

4) μετὰ Παραυαίων ξυνεστρατεύοντο Ὀροίδῳ· 5) συμβουλευσομένους μετὰ σοῦ· 6) μετὰ Ἑλλήνων συνάρασθαι τὸν κίνδυνον· 7) τοὺς συμμάχους ἀπέστειλαν εἰς τὰς πατρίδας, μεθ' ὧν καὶ Καμπανοὶ συνηκολούθησαν· 8) συνανακλίνεσθαι μετά τινος καὶ οὕτω καθεξῆς».

Τὰ ὑπὸ τοῦ Εὐθυβουλίδου γραφέντα ἦσαν ἱκανὰ νὰ καταισχύνωσι καί πως σωφρονίσωσι τὸν Βερναρδάκην· ἀλλὰ δύσερις ὁ ἄνθρωπος ὢν καὶ οὐδαμῶς κατανοῶν ὅτι παντὸς λόγου πολλάκις ἡ σιγὴ εἶνε κρείττων ἐτόλμησε ν' ἀντιλέξῃ ἐν τῇ Νέᾳ Ἡμέρᾳ 939 (1873, 13 Σεπτεμβρ.) τάδε· «Ἔψεξα τὴν φράσιν «μετὰ παρεμφατικῆς ἐγκλίσεως συνεκφέρεται τὸ καίτοι». Πρὸς ἀνασκευὴν μεταχειρίζεται πάλιν τὸν συνήθη αὐτῷ συλλογισμόν. Ἐπειδὴ ὁ Πλάτων, ὁ Εὐριπίδης, ὁ Ἀριστοφάνης κτλ. μετεχειρίσθησαν κατὰ πλεονασμὸν τὴν πρόθεσιν σὺν καὶ δὲν ἥμαρτον, ἕπεται ὅτι καὶ αὐτὸς δὲν ἥμαρτε». Ὁ Βερναρδάκης τὸ μὲν πρῶτον ἀγνοῶν τὴν συνήθειαν τῶν Ἑλλήνων ἐδόξαζεν ὅτι δὲν δύναται νὰ λεχθῇ «μετὰ παρεμφατικῆς ἐγκλίσεως συνεκφέρεται τὸ καίτοι», οὐδεμίαν σημασίαν ἐχούσης τῆς προθέσεως σὺν ἔπειτα δὲ μαθὼν ἐκ τῶν ὑπὸ τοῦ Εὐθυβουλίδου μνημονευθέντων παραδειγμάτων ὅτι νενομισμένη παρὰ τοῖς παλαιοῖς ἦτο ἡ τοιαύτη ἐκφορὰ ἀπεφήνατο τὴν παραδοξοτάτην γνώμην ὅτι ἁμαρτάνει τις νῦν, ἂν ποιῆται χρῆσιν τοιαύτης φράσεως, οἷαι ἀπαντῶσι παρὰ τῷ Πλάτωνι καὶ τῷ Εὐριπίδῃ καὶ τῷ Ἀριστοφάνει καὶ ἄλλοις. Ὑπὸ τῆς παραδοξολογίας τοῦ Βερναρδάκη παροξυνθεὶς ὁ Εὐθυβουλίδης ἠναγκάσθη ν' ἀπαντήσῃ σφοδρότερον ἐν τῇ Κλειοῖ 639 (1873, 27 Σεπτεμβρ.) λέγων «Προτιμῶ Κύριε Γ. Β. δ. φ., νὰ ἁμαρτάνω μετὰ τοῦ Αἰσχύλου, τοῦ Πλάτωνος, τοῦ Θουκυδίδου, τοῦ Σοφοκλέους, τοῦ Εὐριπίδου, τοῦ Ξενοφῶντος, τοῦ Δημοσθένους, τοῦ Πολυβίου, τοῦ Λουκιανοῦ καὶ τοῦ Ἀππιανοῦ ἢ νὰ ὀρθοεπῶ μετὰ τοιούτου ξυλοσχίστου οἷος ὁ Κ. Γ. Β. δ. φ.».

Ὁ Εὐθυβουλίδης ἦτο ἐφημεριδογράφος, πάρεργον δ' ὑπῆρχεν αὐτῷ ἡ περὶ τὰ Ἑλληνικὰ γράμματα σπουδή· παραβαλλόμενος δ' ὅμως πρὸς τὸν Βερναρδάκην φαίνεται ἡμίθεος, μᾶλλον δὲ Ζεὺς Ὀλύμπιος. Καὶ δὲν εἶνε μὲν ἀπίθανον ὅτι ἀποδοκιμάζεται ὑπό τινων ἡ χαλεπὴ τοῦ Εὐθυβουλίδου κακολογία ἀποκαλοῦντος τὸν Βερναρδάκην ξυλοσχίστην, ἀλλὰ τηλικαύτη εἶνε ἡ ἀλαζονεία καὶ ὕβρις τοῦ ἀνθρώπου τούτου, ὥστε δύσκολον ἀποβαίνει καὶ ἐπιεικεστάτῳ ἀνδρὶ

ἐλέγχῃ αὐτὸν πρᾴως καὶ ἀοργήτως ἀπεχόμενος πάσης σκληρᾶς ...ως ἢ φράσεως. Ἵνα δὲ παράσχωμεν δεῖγμα τοῦ τρόπου, καθ' ὃν ...ται συνήθως ὁ Βερναρδάκης νὰ ἐξευτελίζῃ καὶ προπηλακίζῃ ... ἀντιδοξάζοντας αὐτῷ, μνημονεύομεν τὰ ὑπ' αὐτοῦ γεγραμμένα τῇ Νέᾳ Ἡμέρᾳ 938 (1873, 25 Σεπτεμβρ.) «Ἐπειδὴ δὲ καὶ ἐν ...ς ἐφεξῆς ὁ ἐπικριτὴς δεικνύει καὶ φυσικὴν ἀκρισίαν καὶ ὅτι μόνον ...' ὄνομα γνωρίζει τὴν λογικήν, παραπέμπω αὐτὸν εἰς τὴν ὑπὸ τοῦ ...ου του Κ. Θ. Λιβαδᾶ μεταφρασθεῖσαν λογικὴν τοῦ ἀτυχοῦς Beck. ...μετάφρασμα εἶναι κακὸν (εὐθὺς ἐν ἀρχῇ ὁ ὁρισμὸς τῆς λογικῆς ...τεφράσθη κάκιστα), ἀλλ' ἐπειδὴ ὁ μεταφραστὴς ἐπλούτισεν αὐτὸ ... δι' ἰδίων σημειώσεων, τ. ἔ. μετεκένωσεν ἀπόνως ἐκ τῆς ὑπὸ τοῦ ...rendelburg ἐκδοθείσης ἑλληνιστὶ καὶ λατινιστὶ λογικῆς τοῦ Ἀρι...στέλους τὰ σχετικὰ μέρη ἑλληνιστὶ καὶ λατινιστὶ πιστεύω ὅτι θὰ ...ῃ χρησιμότητά τινα διὰ τὸν ἐπικριτήν. Θὰ παρέπεμπον αὐτὸν εἰς ...ὴν λογικὴν τοῦ Βουλγάρεως ἀλλὰ δὲν πράττω τοῦτο, τὸ μὲν διότι ... λογικὴ αὕτη εἰς ἀρχαίαν ἑλληνικὴν συντεταγμένη εἶνε terra in...gnita δι' αὐτόν, τὸ δὲ διότι δὲν ἔχει ἀκόμη καὶ τὰς ἀπαιτουμένας ...νάμεις».

Παρατηρητέον δ' ὅτι δὲν ἐνοήθησαν προσηκόντως ὑπὸ τοῦ Εὐθυ...ουλίδου τὰ χωρία τοῦ Θουκυδίδου Β', 71, 2 «Παυσανίας γὰρ ὁ ...λεομβρότου, Λακεδαιμόνιος, ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν ...ήδων μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς ...άχης, κτέ.» καὶ 80, 6 «Ὀρέσται δὲ χίλιοι, ὧν ἐβασίλευεν Ἀντίο...ος, μετὰ Παραυαίων ξυνεστρατεύοντο Ὀροίδῳ, Ἀντιόχου ἐπιτρέ...αντος»· διότι ἐν τούτῳ μὲν τὸ ῥῆμα ξυνεστρατεύοντο εἶνε συν...εταγμένον τῇ δοτικῇ πτώσει Ὀροίδῳ. τὸ δὲ μετὰ Παραυαίων κα...ῶς θὰ ἔκειτο, καὶ ἂν ἐλέγετο ὑπὸ τοῦ Θουκυδίδου «Ὀρέσται δὲ χίλιοι — μετὰ Παραυαίων ἐβοήθουν Ὀροίδῳ» ἐν ἐκείνῳ δὲ τὸ μετὰ Ἑλλήνων συνάπτεται τῷ ἐλευθερώσας, τὸ δὲ ξυνάρασθαι ἐκφέρεται κατ' ἔλλειψιν τῆς δοτικῆς αὐτῷ. Οὐδαμῶς δ' ἀμφιβάλλομεν ὅτι, ἂν τὰ πταίσματα τοῦ Εὐθυβουλίδου καθίσταντο ὑπό τινος γνωστὰ τῷ Βερναρδάκῃ, κρακτικώτατος οὗτος καὶ θορυβητικώτατος ὢν πολὺν θὰ διετέλει χρόνον βοῶν καὶ σχετλιάζων καὶ ταλανίζων τὴν Ἑλλάδα ὡς μέγαν κίνδυνον κινδυνεύουσαν διὰ τὴν ἐπιπολάζουσαν ἐν αὐτῇ ἐσχάτην ἀμαθίαν καὶ ἀγραμματίαν. Ἀλλ' ὁ μὲν Εὐθυβουλίδης

δύναταί πως νὰ τύχῃ συγγνώμης, διότι τὰ ἁμαρτήματα αὐτοῦ ἐμφαίνουσιν ἀνεπιστασίαν μᾶλλον ἢ ἀνεπιστημοσύνην· οὐδαμῶς δ' Βερναρδάκης, διότι παντελῆ μὲν ἄγνοιαν συνήθους ἐν τῇ Ἑλληνικῇ γλώσσῃ χρήσεως μηνύει ἡ παρατήρησις αὐτοῦ «Ἐν τῇ αὐτῇ στίχῳ λέγεις μετὰ παρεμφατικῆς ἐγκλίσεως συνεκφέρεται τὸ καίτοι. Ποίαν σημασίαν ἔχει ἡ πρόθεσις σύν;», ἀποκύημα δὲ δεινῶς νοσούσης διανοίας εἶνε ἡ πρὸς τὸν ἔλεγχον τοῦ Εὐθυβουλίδου ἀπάντησις αὐτοῦ «Ἔψεξα τὴν φράσιν μετὰ παρεμφατικῆς ἐγκλίσεως συνεκφέρεται τὸ καίτοι. Πρὸς ἀνασκευὴν μεταχειρίζεται πάλιν τὸν συνήθη αὐτῷ συλλογισμόν. Ἐπειδὴ ὁ Πλάτων, ὁ Εὐριπίδης, ὁ Ἀριστοφάνης κτλ. μετεχειρίσθησαν κατὰ πλεονασμὸν τὴν πρόθεσιν σὺν καὶ δὲν ἥμαρτον, ἕπεται ὅτι καὶ αὐτὸς δὲν ἥμαρτεν».

ΚΕΦ. ΚΑ'.

Συνδιατρίβειν σύν τινι.

Ἐδιδάχθη ἐν τῷ ἡγουμένῳ κεφαλαίῳ ὅτι λέγεται ἐνίοτε ἐν τῇ Ἑλληνικῇ γλώσσῃ συνδιατρίβειν μετά τινος. Παρατηροῦμεν δ' ἐνθάδε ὅτι ἐγένετο καὶ τοῦ συνδιατρίβειν σύν τινι χρῆσις ὑπὸ τοῦ Κρατίνου παρὰ Πλουτ. Κίμ. Ι (Ἀποσπ. Κωμικ. Ἑλλήν. ἐκδ. Μειν. μικρ. σελ. 7) «κἀγὼ γὰρ ηὔχουν Μητρόβιος ὁ γραμματεὺς σὺν ἀνδρὶ θείῳ καὶ φιλοξενωτάτῳ καὶ πάντ' ἀρίστῳ τῶν Πανελλήνων πρόμῳ Κίμωνι λιπαρὸν γῆρας εὐωχούμενος αἰῶνα πάντα συνδιατρίψειν». Τῆς τοιαύτης συντάξεως, σπανιωτάτης οὔσης, ὀλίγιστα μαρτύρια ἔχομεν νὰ μνημονεύσωμεν· εἶνε δὲ τάδε. Εὐριπίδ. Ἡρακλεῖδ. 26 «ἐγὼ δὲ σὺν φεύγουσι συμφεύγω τέκνοις καὶ σὺν κακῶς πράσσουσι συμπάσχω κακῶς». Ξενοφ. Ἀναβ. Β', δ', 9 «ἐπορεύετο δὲ καὶ Ἀριαῖος τὸ Κύρου βαρβαρικὸν ἔχων στράτευμα ἅμα Τισσαφέρνει καὶ Ὀρόντᾳ καὶ συνεστρατοπεδεύετο σὺν ἐκείνοις» καὶ Ε', Ϛ', 24 «διὰ τὸ συνεστρατεῦσθαι ἐν αὐτῇ σὺν Κλεάρχῳ τε καὶ Δερκυλίδᾳ» καὶ Ζ', α', 18 «ἔθει (Κόβ. θεῖ) καὶ συνεισπίπτει εἴσω τῶν πυλῶν σὺν τῷ ὄχλῳ» καὶ Ἑλλην. Β', δ', 36 «ὥσπερ γὰρ νομίζεται σὺν βασιλεῖ δύο τῶν ἐφόρων συστρατεύεσθαι». Σημειωτέον δ' ὅτι ἐν Ἀναβάσ. Ζ',

', 10 τὰ μὲν ἄλλα ἀντίγραφα φέρουσι «ἐγώ, ὦ ἄνδρες, δέομαι ὑμῶν στρατεύεσθαι σὺν ἐμοί» ἓν δὲ μόνον συστρατεύεσθαι. Πρβ. περὶ Πόρ. Β', 3 «ἀλλὰ μὴν καὶ ἡ πόλις γ' ἂν ὠφεληθείη, εἰ οἱ πολῖται μετ' ἀλλήλων στρατεύοιντο μᾶλλον ἢ εἰ συντάττοιντο αὐτοῖς, ὥσπερ νῦν, Λυδοὶ καὶ Φρύγες καὶ Σύροι καὶ ἄλλοι παντοδαποὶ βάρβαροι». Ἀπαντᾷ δὲ καὶ ἐν ταῖς Ἱστορίαις τοῦ Τζέτζου Χιλ. Θ', 485 (σελ. 342) «ἀλλὰ συγγυμναζόμενος σὺν ἐγγυμναζομένοις» καὶ ΙΑ', 83 (σελ. 406) «σὺν μαθηταῖς δὲ τοῖς αὐτοῦ πολλοῖς συμπυρπολεῖται» καὶ ἐν ταῖς Ἀλληγορ. σελ. 34, 550 Βοισσ. «σὺν ᾧπερ συνεστράτευσαν καὶ συμπαρῆσαν τότε». Παρὰ τῷ Ἰωσήπῳ Ἰουδ. Ἀρχαιολ. Ζ', ζ', 1 κατὰ μὲν τὴν ἔκδοσιν τοῦ Δινδορφίου καὶ τὴν τοῦ Βεκκήρου φέρεται «κυκλωθεὶς δὲ καὶ ληφθεὶς ἐν μέσῳ τελευτᾷ· σὺν δ' αὐτῷ τινες καὶ ἄλλοι συγκατέπεσον τῶν ἑταίρων» κατὰ δὲ τὴν τοῦ Νισίου (Τόμ. Β', σελ. 121, 3) «κυκλωθεὶς δὲ καὶ ληφθεὶς ἐν μέσῳ ἅμα δ' αὐτῷ τινες καὶ ἄλλοι τελευτᾷ συγκαταπεσόντων ἑτέρων» κατὰ δὲ τὴν τοῦ Ναβήρου Τόμ. Β', σελ. 113, 26 «ἅμα δ' αὐτῷ τινὲς καὶ ἄλλοι συγκατέπεσον τῶν ἑταίρων» (Πρβ. καὶ σελ. ιβ'). Τὸ ὑπὸ τοῦ Αἰσχίνου εἰρημένον ἐν τῷ περὶ Παραπρεσβείας 162 «ἦσαν δ' οἱ κλητοὶ καὶ συνδειπνοῦντες σὺν ταῖς ἀπὸ τῶν Ἑλλήνων πρεσβείαις οὐκ ἐλάττους ἢ διακόσιοι» ἐκληπτέον μᾶλλον ἀντὶ τοῦ «οἱ δὲ κλητοὶ καὶ συνδειπνοῦντες ἦσαν σὺν ταῖς ἀπὸ τῶν Ἑλλήνων πρεσβείαις οὐκ ἐλάττους ἢ διακόσιοι». Πρβ. Ὁ. Βαχμαννὸν ἐν *Coniect.—Aristophan. Spec.* Α', σελ. 108.

